ΑΥΤΟΣΧΕΔΙΟΣ ΠΕΡΙΓΡΑΦΗ

ΤΗΣ


ΧΑΛΚΙΔΙΚΗΣ ΧΕΡΣΟΝΗΣΟΥ

ΜΕΤ' ΑΡΧΑΙΟΛΟΓΙΚΩΝ ΣΗΜΕΙΩΣΕΩΝ ΚΑΙ
ΙΣΤΟΡΙΚΩΝ ΣΥΜΒΑΝΤΩΝ

ΕΚΔΙΔΕΤΑΙ ΤΟ ΠΡΩΤΟΝ

ΥΠΟ

ΝΙΚΟΛΑΟΥ Β. ΧΡΥΣΑΝΘΙΔΟΥ
τοῦ Βυζαντίου.



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ « Η ΑΝΑΤΟΛΗ »
ΕΥΑΓΓΕΛΙΝΟΥ ΜΙΣΑΗΛΙΔΟΥ

1870.

Τῷ Σεβασμιωτάτῳ
πρώην Μητροπολίτῃ Κασσανδρείας Κυρίῳ Κυρίῳ
ΧΡΥΣΑΝΘΩι
τῷ Καισαρεῖ
Ἀνδρὶ φιλογενεῖ καὶ φιλομούσῳ καὶ καθ' ἅπασαν μὲν ἀρετὴν ἀγαθῷ

ἐμοὶ δ' εὐεργετικωτάτῳ Γέροντι
τήν δε τὴν βίβλον ἀνατίθημι
Ὁ Ἐκδότης

ΠΡΟΛΟΓΟΣ.

Ὅτι μὲν πάντες ἀνεξαιρέτως ἐν τῷ βίῳ τούτῳ ὑπὸ τὴν σημαίαν μιᾶς καθολικῆς κοινωνίας, καθὰ μέλη αὐτῆς ἀπαρτιστικά, πρὸς ἠθικὴν καὶ διανοητικὴν πρόοδον αὐτῆς ἐπὶ τὰ κρείττω αὐτὴν χειραγωγοῦντες, πάνυ εἰλικρινῶς ὑπηρετεῖν αὐτῇ κατὰ χρέος ὀφείλομεν, ἀλλήλοις ἁμιλλώμενοι ἕκαστος, οἱ μὲν θέτοντες τὰ θεμέλια, οἱ δὲ ἐποικοδομοῦντες αὐτήν; οἱ μὲν, χρυσὸν, οἱ δὲ, ἄργυρον, οἱ δὲ, λίθους τιμίους ἄλλοι δὲ, ξύλα, χόρτον, καλάμην, καὶ ἄλλοι ἄλλα προσφέροντες· ὅτι μὲν ταῦτα οὕτως ἔχουσι, περὶ τούτων οὐδεμιᾶς ποτε ἀποδείξεως χρήζομεν, ἔχοντες ὡς σοφὸν διδάσκαλον τὴν πεῖραν. Ὅτι δὲ ἕκαστος κατὰ τὴν μᾶλλον ἢ ἧττον ἐνοῦσαν αὐτῷ δύναμιν, ὅταν ἐπὶ τῷ αὐτῷ σκοπῷ τείνων ἐνεργήσῃ ἀκαταμαχήτως τε καὶ ἀόκνως πρὸς ἐκπλήρωσιν τοῦ ἠθικοῦ τούτου χρέους, ἀφοῦ ὑπ' οὐδενὸς τῶν κρειττόνων, ὡς εὐσυνειδήτων κατακρίνεται, ὡς μὴ ἄγαν εὐδοκιμῶν, καὶ συμπαθείας μάλιστα ἀπολαμβάνων παρὰ τῶν τοιούτων, καὶ ἄξιος μικροῦ τινος ἐπαίνου τυγχάνει, καὶ τοῦτο σαφὲς, διότι ἐκ μικρῶν συναισθανόμενος τὰ πρὸς τὴν κοινωνίαν ἱερὰ αὐτοῦ καθήκοντα ὁ τοιοῦτος, ὑπὸ φιλοτιμίας οὕτω βαθμηδὸν δύναιτ' ἂν ποτε προαγαγέσθαι ἐπὶ τὸ ἐνεργεῖν πλέον ἢ πρότερον.

Ἐφ' ᾧ τοίνυν ἐπερειδόμενοι καὶ ἐκ μικρῶν ὁρμώμενοι πλεῖστοι τοιοῦτοι νόες ἐμβριθέστεροι καὶ ὀφθαλμοὶ ὀξυδερκέστεροι ἀνεφάνησαν ἐν τῷ κόσμῳ καὶ ἀναφαινόμενοι τοιοῦτοι οὐ διαλείπουσιν, οἵτινες πείρᾳ τε καὶ γνώσει δόκιμοι διακεκριμμέ-

νως καταστάντες ἐκ τῶν παλαιτάτων μέχρι τῶν καθ' ἡμᾶς χρόνων, ἀναλαμβάνοντες κατὰ διαφόρους καιροὺς καὶ χρόνους, καὶ συνεισφέρειν τῇ κοινωνίᾳ πολυειδῶς ὑπισχνούμενοι διατελοῦσι μεγάλα καὶ ἐπωφελῆ, ὧν εἰς τὸν ὑπέρτατον ὁρίζοντα ἐπιμονῇ τε καὶ ὑπομονῇ προαχθέντες ἔφθασαν, οἱ μὲν διὰ τῆς θεωρίας τῶν ὄντων τῆς φύσεως, οἱ δὲ διὰ τῆς σπουδῆς τῆς κατὰ ἄνθρωπον· ὅθεν καὶ δικαίως δύναιτ' ἄν τις αὐτοὺς ἀναβιβάσαι εἰς τὸ ὑπερῷον τῆς δόξης πλέκων αὐτοῖς ἐγκωμίων στεφάνους.

Ὑπ' αὐτοῦ δὲ τούτου κατεχόμενος τοῦ ζήλου τοῦ συντελέσαι τῇ κοινωνίᾳ κἀγώ, ἂν καὶ ἠβουλόμην ὁ ἐλάχιστος πολλάκις καὶ πρὸ καιροῦ νὰ ἐμφανισθῶ εἰς τὸ δημόσιον ἔχων ἐν χερσίν, ὥσπερ τὸ λεπτὸν τῆς χήρας, τὸ παρόν μου τοῦτο πονημάτιον, δὲν ἀπεφάσιζον ὅμως ἐφ' ἱκανὸν χρόνον τοῦτο ποιῆσαι, ὑπὸ τῆς δειλίας τῆς κριτικῆς πάντοτε ἀναχαιτιζόμενος. Συνειδὼς γὰρ ἐμαυτῷ, ὁτὲ μὲν τὸ ἀσθενὲς τοῦ καλάμου, ὁτὲ δὲ τὸ στενὸν τοῦ κύκλου τῆς διανοίας μου, δὲν ἐτόλμων ἐλευθέρως προβῆναι εἰς ἐπιχείρησιν ἐκδόσεως πονήματος ὅπερ στερεῖται κριτικῆς ἐπιβεβαιώσεως.

Πείσας δ' ἐπὶ τέλους ἐμαυτόν, ὅτι ὁ πρὸς ὃν ἀποβλέπει μου σκοπὸς οὐκ ἔστιν, οὔτ' ἵνα φωτίσω διὰ λεπτομερῶν καὶ ἀκριβῶν περὶ τῶν καθ' ἕκαστα γνώσεων τοὺς ἀναγνώστας μου, ὥστε νὰ ἔχω τὴν ἀνάγκην τοῦ περιφρουρεῖσθαι ὑπὸ τούτων τῶν μέσων, οὐδ' ἵνα κοσμήσω τὴν ἐθνικὴν ἡμῶν Ἑλληνικὴν ἱστορίαν, διὰ νέων ἐφευρέσεων ἀναπληρώσας πᾶν τὸ ἐλλειπές, ἀλλ' ἵνα μὲν παρέξω ἀφορμὴν εἰς τὸ Σεβαστόν μοι Πανελλήνιον τοῦ ἐρευνᾷν ἀκριβώτερον τόπους ἱστορικούς, ἐξ ὧν μεγίστη ἡμῖν γενήσετ' ἂν ἡ φιλολογικὴ ὠφέλεια, ἵνα δὲ δώσω νύξιν εἰς τοὺς κριτικοὺς ἐπὶ τῷ ἀναζητεῖν πᾶσαν τὴν ἀλήθειαν, ἵνα δὲ μᾶλλον εἰπεῖν, κεντήσας τὴν φιλοτιμίαν τῶν κρειττόνων, προσάγω οὕτω κἀγὼ τὰς ἐλαχίστας μου ἐκδο-

λεύσεις, καθυποβάλλω δὲ τὰς νεανικάς μου προσφορὰς εἰς τὸν μεγαλοπρεπῆ βωμὸν τῆς Ἱστορίας, ἐκποδὼν ἐποιησάμην τὴν δειλίαν, τὴν τόλμην ἐνεδυσάμην, ἐξαιτοῦμαι δὲ καὶ τὴν συμπάθειαν τῶν ἀναγνωστῶν ἐπ' ἐμοί, εἰσέτι τὸν « περὶ στεφάνου λόγον τοῦ Δημοσθένους » *διδασκομένῳ. καὶ ἐπεχείρησα ἔργον ἱστορικὸν, ὅσον τίμιον, τόσον καὶ πολύμοχθον, ὅσον ὠφέλιμον, τόσον καὶ χρῇζον καὶ ἀκριβείας ἱστορικῆς, τὰς ἐμὰς δ' ἐξέφρασα ἄνωθι ἀδυναμίας, ἃς πέποιθα ὅτι ἕτεροι θέλουσιν ἀναπληρώσει.*

Ἔστι δὲ τὸ ἔργον τοῦτο, « Αὐτοσχέδιος Περιγραφὴ τῆς κατὰ τὴν Μακεδονίαν Χαλκιδικῆς Χερσονήσου, μετ' ἀρχαιοτάτων καὶ νεωτέρων ἀξιοσημειώτων παρατηρήσεων ».

Διαιρεῖται δὲ εἰς τέσσαρα μέρη· τὸ μὲν Α'. διαπραγματεύεται ἁπλῶς τὴν χωρογραφίαν ἁπάσης τῆς Χερσονήσου. Β'. τὴν φυσικὴν αὐτῆς κατάστασιν. Γ'. τὴν τῶν ἀρχαίων αὐτῆς κατοίκων μετὰ τῶν νεωτέρων σύγκρισιν, καὶ Δ'. τὴν ἱστορικὴν περίληψιν ἀρχαίων τῆς χερσονήσου ταύτης συμβεβηκότων μετά τινων νεωτέρων, ἐπισυνάπτων ἅμα βραχεῖ τῷ λόγῳ καὶ τὴν νεωτέραν περιγραφὴν τῆς παρὰ τῇ ῥηθείσῃ Χερσονήσῳ πόλεως Θεσσαλονίκης, πόλεως διατελούσης σήμερον ὡς γεφύρας, οὕτως εἰπεῖν, τοῦ ἐμπορίου ἁπάσης τῆς Μακεδονίας, καὶ κατὰ μέγα σχεδὸν μέρος τῆς Βουλγαρίας, πόλεως τὰ μέγιστα διακρινομένης ἐπὶ διανοητικῇ καὶ ἠθικῇ τῶν κατοίκων καταστάσει καὶ πολιτισμῷ.

Πέποιθα δὲ ὁ ἐλάχιστος ὅτι ἐπαξίως ἐκτιμηθήσεται παρὰ παντὸς φιλομούσου καὶ φιλομαθοῦς ἀνδρὸς τὸ κατ' ἐμὴν δύναμιν συνταχθὲν τοῦτο πονημάτιον, ὡς καὶ ἡ ὠφέλεια, ἣν δύναται νὰ ἐλπίσῃ ἐξ αὐτοῦ ἡ φιλόμουσος καὶ μαθητεύουσα Νεολαία.

Ἔγγραφον ἐν Κωνσταντινουπόλει, τῇ 1 Μαΐου 1870.

Ὁ Ἐκδότης

Ν. Β. ΧΡΥΣΑΝΘΙΔΗΣ.

ΠΕΡΙΓΡΑΦΗ

ΤΗΣ

ΧΑΛΚΙΔΙΚΗΣ ΧΕΡΣΟΝΗΣΟΥ

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἡ Χαλκιδικὴ Χερσόνησος.

Ἡ Χαλκιδικὴ Χερσόνησος, καί τοι οὐ μόνον καθ' ἑαυτὴν ἀλλὰ καὶ ἱστορικῶς πλείστου λόγου ἀξία, καί τοι ἀφθονοῦσα, μέχρι τῆς σήμερον, ἀπὸ ἐρείπια ἀρχαίας μεγαλοπρεπείας καί τοι εὐπρόσιτος κατὰ μέγα μέρος διὰ τὰς πέριξ αὐτῆς θαλάσσας, τοῦ τε Αἰγαίου πελάγους καὶ τῶν εἰσδυόντων τεσσάρων κόλπων, τοῦ Θερμαϊκοῦ πρὸς μεσημβρίαν, τοῦ Τορωναίου καὶ Σιγγιτικοῦ πρὸς νότον καὶ τοῦ Στρυμονικοῦ πρὸς ἀνατολάς, ὀλίγον ὅμως καὶ ἀτελῶς γνωρίζεται· ἡ ἱστορία αὐτῆς συνδεδεμένη ὡς ἐπὶ τὸ πλεῖστον μὲ τὴν τῆς Ἑλλάδος καὶ Μακεδονίας, οὐδόλως ἀμοιρεῖ τῶν εἰς ταύτην περιέργων φαινομένων· καί τοι δὲ κατ' ἀρχὰς τὰ παράλια αὐτῆς φαίνονται ἐν τῇ ἱστορίᾳ σεμνυνόμενα, διότι καὶ ταῦτα τοῦ Ἑλληνικοῦ Ἔθνους ἀποβαίνοντος ὁσημέραι κατακτητικοῦ, ἦσαν τὸ

ὁρμητήριον τῶν Ἑλληνικῶν ἀποικιῶν, καὶ τὰ μόνα ὑποκύψαντα εἰς τὴν ἐπιῤῥοὴν τοῦ Ἑλληνικοῦ πολιτισμοῦ, οὐχ ἧττον ὅμως φαίνεται ὅτι, ἡ ἐπιῤῥοὴ αὕτη εἰσέδυε βαθμηδὸν καὶ κατ' ὀλίγον καὶ εἰς τὰ ἐνδότερα τῆς χερσονήσου ταύτης, πλέον καλλιεργημένη, πλέον ἀκαταμάχητος, ὡς οὖσα ἐν τῇ ἀκμῇ αὐτῆς, καὶ φέρουσα ὑποστήριγμα τὰ ὅπλα τῆς κατακτήσεως εἰς ἐποχὴν, καθ' ἣν τὸ Ἑλληνικὸν Ἔθνος ἦτο συνηνωμένον καὶ μὲ τὰ ὅπλα εἰς τὰς χεῖρας ἐδίωκε τὴν βαρβαρότητα τὴν γεννωμένην ἐκ διαφόρων βαρβαρικῶν δυναστειῶν. Ἡ ἐποχὴ αὕτη ἡ ἐπενεργήσασα τοσοῦτον εἰς τὸν πολιτισμὸν βαρβάρων ἐθνῶν, εἶναι ἡ Μακεδονικὴ, ἥτις εὐλόγως δύναται νὰ διακριθῇ ἀπὸ τῆς Ἑλληνικῆς (1), διότι τὸ Μακεδονικὸν ἔθνος ἐξεπλήρου πάντοτε ἐντολὴν ἄλλην παρὰ τὸ Ἑλληνικόν. Οἱ Ἕλληνες ἐθεμελίωσαν καὶ οὐσιωδῶς προήγαγον τὸν τοσοῦτον διακρινόμενον τοῦ Ἀνατολικοῦ δυτικὸν πολιτισμὸν, οἱ δὲ Μακεδόνες ἀνέλαβον τὸ ἔργον τοῦ νὰ διαδώσωσι πανταχοῦ τοὺς μέχρι τῆς ἐποχῆς ἐκείνης συλλεγέντας καρποὺς τοῦ νέου τούτου πολιτισμοῦ, συνδέοντες καὶ αὐτὰς τὰς ἀνατολικωτάτας ἐσχατιὰς μετὰ τῆς ἀείποτε νεωτεριζούσης δύσεως.

Τριάκοντα δύο περίπου πόλεις ἀρχαῖαι καὶ οὐχ' ἧττον μεγαλοπρεπεῖς, ἀκμάζουσαι δὲ κατὰ τὸ μᾶλλον καὶ ἧττον πρός τε τὸν πολιτισμὸν τῶν ἀρχαίων κατοίκων καὶ ἠθικήν τε καὶ ὑλικὴν αὐτῶν ἀνάπτυξιν, περιεκόσμουν τὴν περὶ ἧς ὁ λόγος Χαλκιδικὴν Χερσόνησον, οὖσαι τεθεμε-

---

(1) Ἴδε Ἱστορίαν Π. Π. Ῥηγ. σελ. 193.

λιωμέναι, ἄλλαι μὲν μεσογείως καὶ ἄλλαι παραλίως ἐπὶ θέσεων καταλληλοτάτων. Αἱ πόλεις αὗται αἱ πολλάκις διαπρέψασαι καὶ ἐπὶ μάχαις διαφόροις ἅμα καὶ συμμαχίας, οὖσαι ἄποικοι διαφόρων γενῶν ἀπετέλουν τὸ ἡδὺ καὶ καταπληκτικὸν ὄνειρον διαφόρων ἡγεμόνων τῆς Μακεδονίας, πρὸ πάντων ὅμως τοῦ δραστηρίου ἐκείνου τῆς ἐποχῆς, καὶ πανούργου ἡγεμόνος Φιλίππου τοῦ Μακεδόνος, καθότι αὗται ἔκειντο τότε ἐπὶ ἐδάφους Θρακικοῦ. Ἐξ αὐτῶν δὲ τῶν πόλεων αἱ μᾶλλον ἐκλάμψασαι ἦσαν τρεῖς· ἡ Ὄλυνθος, ἡ Ποτίδαια καὶ ἡ Τορώνη, κατὰ μήκιστον δὲ λόγον καὶ ἡ Ἀπολλωνία ἡ Χαλκιδική, πόλεις, ὧν οὐδὲ ἴχνος τῆς αὐτῶν μεγαλοπρεπείας ἤδη φαίνεται.

Α'. Χωρογραφία

Ἡ Χαλκιδικὴ χερσόνησος ὑπὸ χωρογραφικὴν ἔποψιν θεωρουμένη συνορεύεται πρὸς ἀνατολὰς μὲν, μετὰ τῆς Θράκης, πρὸς δυσμὰς δὲ, μετὰ τῆς Μακεδονίας καὶ Ἠπειρο-Θετταλίας καὶ διαιρεῖται

1. Εἰς τὴν Χερσόνησον Παλλήνην (Κασσάνδραν).
2. Εἰς τὴν Χερσόνησον Σιθωνίαν (Λογκόν).
3. Εἰς τὴν Χερσόνησον Ἀκτὴν ἢ τοῦ Ἄθω (Ἅγιον Ὄρος).

Καὶ 4 εἰς τὸ τμῆμα, ὅπερ μετὰ τῶν ἄνωθι τριῶν χερσονήσων ἀποτελεῖ τὴν Χαλκιδικὴν ταύτην χερσόνησον. Εἰσδύουσι δὲ περὶ τὰς χερσονήσους ταύτας, καὶ περι-

βρέχουσι τέσσαρες Κόλποι, ὁ Θερμαϊκὸς, ὁ Τορωναῖος, ὁ Σιγγιτικὸς καὶ ὁ Στρυμονικός.

α΄. Ἡ Χερσόνησος Παλλήνη.

Ἡ Χερσόνησος Παλλήνη, τανῦν Κασσάνδρα ἐπονομαζομένη, σύγκειται ἐκ δώδεκα χωρίων, ἅπερ ἀποικίαι εἰσὶ χωρίων τινων τῶν ἐν τῇ Ἠπείρῳ καὶ Θεσσαλίᾳ Ἀγράφων. Τὸ δὲ σχῆμα τῆς χερσονήσου ταύτης φυσικῶς ὁμοιάζει μὲ πόδα ἀνθρώπου.

Ἄρχεται δὲ ἐκ τῆς Καλαμαρίας χωριζομένη διὰ τάφρου, διωρυγέντος ἐπὶ τοῦ Ἰσθμοῦ τῷ 1821 ἔτει ὑπὸ τῶν κατοίκων τῆς χερσονήσου ταύτης, ἐπαναστατησάντων κατὰ τῆς Ὀθωμανικῆς Κυβερνήσεως βασιλεύοντος τοῦ Σουλτὰν Ἀβδοὺλ Μαχμοὺτ, καὶ προεκβάλλεται εἰς τὸ Αἰγαῖον Πέλαγος σταδίους τριακοσίους· ἄνωθεν δὲ τῆς τάφρου ὑψοῦται καὶ τεῖχός τι ἀρχαῖον, ὅπερ περὶ τά 431 π. Χριστοῦ ὑπὸ Ἀθηναίων ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου ἀνεγερθὲν, καὶ ἐπεκτεινόμενον μέχρι σταδίων τριῶν ἀπὸ τῆς μιᾶς ἄκρας μέχρι τῆς ἄλλης τῶν δύο κόλπων, δεξιόθεν μὲν τοῦ Θερμαϊκοῦ, ἀριστερόθεν δὲ τοῦ Τορωναίου, ἐχρησίμευε τοῖς κατοίκοις ὡς προμαχὼν τῷ 1821· ὀνομάζεται δὲ τὸ τεῖχος τοῦτο, οὗ τὰ ἐρείπια μόνον σώζονται, πύλαι τῆς Κασσάνδρας (κοινῶς πόρται).

Ἐπὶ τοῦ ὑψώματος τούτου παρὰ τὸ τεῖχος ἔκειτο κατὰ τὸν Ἰσθμὸν ἡ ἀρχαία ἐκείνη καὶ ἐπίσημος πόλις

Ποτίδαια, ἡ μεταξὺ τοῦ Θερμαϊκοῦ καὶ Τορωναίου κόλπου, ἄποικός μέν ποτε τῶν Κορινθίων, ὑποτελὴς δὲ τῶν Ἀθηναίων, καταστραφεῖσα δὲ ὑπὸ Φιλίππου τοῦ Μακεδόνων βασιλέως, καὶ ἀνεγερθεῖσα ἔπειτα ὑπὸ τοῦ Κασσάνδρου, ὑφ' οὗ καὶ μετωνομάσθη Κασσάνδρεια (1). Διὰ τοῦ ὀνόματος δὲ τούτου τῆς ἀρχαίας ταύτης πόλεως, τῆς οὐδὲ ἴχνος ἤδη, οὐδὲ λείψανον τῆς ἀρχαιότητος αὐτῆς σωζούσης, τιτλοφορεῖται ἐκκλησιαστικῶς καὶ ὁ Μητροπολίτης τῆς Χαλκιδικῆς Χερσονήσου, Κασσανδρείας ἐπιλεγόμενος.

Ἡ Ποτίδαια τὸ πάλαι ἐπὶ τῷ Ἰσθμῷ τῆς Παλλήνης, τῆς καὶ Φλέγρης πρότερον καλουμένης κειμένη ἀπεῖχε τῆς Ὀλύνθου (ἑτέρας ἀρχαίας καὶ ἐπισήμου πόλεως, περὶ ἧς κατωτέρω θέλομεν ἀναφέρει) σταδίους ἑξήκοντα (Θουκιδύδ. Α, ξγ'.)· νῦν δὲ κεῖται ἐπὶ τῆς θέσεως αὐτῆς Μετόχιον τῆς ἐν τῷ Ἄθω ὄρει Μονῆς τοῦ Δοχειαρίου, Καπὺ Μετόχιον καλούμενον, ὡς ἐκ τῶν παρ' αὐτῷ πυλῶν τῆς Χερσονήσου Παλλήνης.

β'. Περὶ τῶν κατὰ τὴν Χερσόνησον Παλλήνην χωρίων.

Τὰ ἐπὶ τῆς Χερσονήσου Παλλήνης κείμενα χωρία

(1) « Ποτιδαιάταις δὶς μὲν ἐπέλαβεν ἀναστάτους ἐκ τῆς σφετέρας ὑπὸ Φιλίππου τε γενέσθαι τοῦ Ἀμύντου, καὶ πρότερον ἔτι ὑπὸ Ἀθηναίων· χρόνῳ δὲ ὕστερον Κάσσανδρος κατήγαγε μὲν

εἰσὶν, ὡς ἄνω εἴρηται, δώδεκα τὸν ἀριθμὸν, ἐξ ὧν τὰ μὲν δέκα ἀπέχουσιν 1]4 περίπου τῆς ὥρας ἀπὸ τῆς θαλάσσης, τὰ δὲ δύο ἄλλα κεῖνται μεσογείως· εἰσὶ δὲ τὰ ἑξῆς.

1. ΒΑΛΤΑ.

Τὸ χωρίον τοῦτο μεγαλήτερον ὂν τῶν ἄλλων ἕνδεκα χωρίων θεωρεῖται ἡ πρωτεύουσα τῆς ἐπαρχίας ταύτης. Διότι ἐν αὐτῷ κεῖται ἡ ἱερὰ Μητρόπολις (1) τοῦ Μητροπολίτου Κασσανδρείας, ὡς καὶ τὸ Διοικητήριον, ἔνθα διαμένει ὁ ἔπαρχος, ὅστις κατὰ τοὺς νέους τῆς Κυβερνήσεως Νόμους διορίζεται ἀμέσως ὑπὸ τοῦ γενικοῦ Διοικητοῦ τῆς Μακεδονίας. Σύγκειται δὲ ἐξ ἑκατὸν καὶ δέκα περίπου οἰκιῶν λιθίνων· ἄνωθεν τῆς ἱερᾶς Μητροπόλεως κεῖται ὁ Μητροπολιτικὸς Ναὸς ἐπ' ὀνόματι τοῦ γενεσίου τῆς Ὑπεραγίας Θεοτόκου σεμνυνόμενος· καὶ παρὰ τῷ Ναῷ ἡ Ἑλληνο-αλληλοδιδακτικὴ Σχολὴ, τῇ ἀξιεπαίνῳ προτροπῇ καὶ συνδρομῇ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀοιδίμου Πατριάρχου Ἀλεξανδρείας, Κ. Ἰακώ-

---

Ποτιδαιάτας ἐπὶ τὰ οἰκεῖα, ὄνομα δὲ οὐ τὸ ἀρχαῖον τῇ πόλει, Κασσάνδρεια δ' ἐγένετο ἀπὸ τοῦ οἰκιστοῦ ». Ποπ. Προλεγόμενα εἰς Θουκιδύδην. Μέρος Α'. Τόμος Β'. σελ. 372.

(1) Ἡ Μητρόπολις αὕτη ἀνεγερθεῖσα κατὰ τὸ 1840 ἔτος ὑπὸ τοῦ ἀοιδίμου Πατριάρχου Ἀλεξανδρείας Κ. Ἰακώβου εἶναι λίθινος δυώροφος περιέχουσα ἄνω μὲν πέντε δωμάτια μετὰ ἐκτεταμένης αἰθούσης, κάτω δὲ δύο μεγάλα δωμάτια· καὶ περικυκλοῦται ὑπὸ ἐκτεταμένου κήπου, ἐν ᾧ κατὰ τὸ 1866 ἔτος ὁ Μητροπολίτης πρώην Κασσανδρείας Κ. Χρύσανθος ἰδίαις αὐτοῦ δαπάναις ἔκτισε καὶ ὡραίαν δεξαμενὴν, ὅπως διὰ τῶν ὑδάτων αὐτῆς ποτίζωνται τὰ διάφορα λαχανικὰ τοῦ κήπου τῆς Μητροπόλεως.

δου, (Μητροπολίτου Κασσανδρείας τότε διατελοῦντος) ἐκ βάθρων ἀνεγερθεῖσα. Ἡ σχολὴ αὕτη θεωρεῖται ἤδη ἡ μεγαλητέρα τῶν ἄλλων σχολείων τῶν παρακειμένων χωρίων· ἔχει δὲ τὸ χωρίον καὶ ἀγορὰν ἐξ ἑπτὰ ἢ ὀκτὼ συνισταμένην ἐργαστηρίων σποράδην κειμένων· ταῦτα δ' εἰσὶ παντοπωλεῖα τρία, καφενεῖα δύο, καπνοπωλεῖον ἓν καὶ ὑποδηματοποιεῖον ἕν. Παρὰ τῇ ἀγορᾷ ὑπάρχει καὶ ξενοδοχεῖον, ἔνθα ξενοδοχοῦνται οἱ ἐκ τῶν ἀπωτέρων χωρίων ἐρχόμενοι διὰ πολιτικὰς καὶ ἰδιωτικὰς αὐτῶν ὑποθέσεις· ἐκεῖ κεῖται τὸ Τελωνεῖον, ὡς καὶ τὸ Ὑγειονομεῖον, ἀμφότερα ὑπὸ Ὀθωμανῶν διοικούμενα.

2. ΦΟΥΡΚΑ.

Τὸ χωρίον τοῦτο ἀπέχον τοῦ χωρίου «Βάλτας» ἡμίσειαν ὥραν, σύγκειται ἐκ πεντήκοντα περίπου οἰκιῶν. Ἔχει δὲ καὶ ἐκκλησίαν, καὶ Ἀλληλοδιδακτικὸν Σχολεῖον, τῇ προτροπῇ τοῦ πρώην Μητροπολίτου Κασσανδρείας Κ. Χρυσάνθου συστηθὲν τῷ 1866 ἔτει.

Ἔν τινι ἰδιωτικῷ ἀγρῷ κατοίκου τινὸς τοῦ χωρίου τούτου ἀνεκαλύφθη ἀρχαῖός τις τάφος περιέχων δύο ἀγγεῖα, ἐξ ὧν τὸ ἓν μεγαλήτερον τοῦ ἄλλου, κόνιν καέντος νεκροῦ περιέχοντα. Τὰ ἀγγεῖα ταῦτα εὑρίσκονται ἤδη παρὰ τῷ πρώην Μητροπολίτῃ Κασσανδρείας Κ. Χρυσάνθῳ, διατηροῦντι αὐτὰ ὡς ἀρχαιότητας τῆς πρότερον χρηματισάσης ἐπαρχίας του· τὸ περίεργον δὲ εἶναι, ὅτι κατὰ τὴν ἐκ τοῦ τάφου ἐκείνου ἐξαγωγὴν τῶν δύο τούτων ἀγγείων εὑρέθη ἐντὸς αὐτῶν καὶ ὀλίγον ὕδωρ, ὅπερ

ἀνατραπέντων αὐτῶν κατὰ δυστυχίαν τότε ἐξεχύθη, ἐν
πομεινάσης μόνης τῆς κόνεως.

3. ΚΑΛΛΑΝΔΡΑ.

Τὸ χωρίον τοῦτο εἰς ἀπόστασιν ἡμισείας ὥρας ἀπ
τοῦ χωρίου «Φούρκας» κείμενον σύγκειται ἐξ ἑξήκοντ
περίπου οἰκιῶν· ἔχει δὲ καὶ ἐκκλησίαν ἐπὶ θέσεως κα
ταλλήλου, ὡς καὶ Ἀλληλοδιδακτικὸν Σχολεῖον.

Ὠνομάσθη δὲ τὸ χωρίον τοῦτο λίαν καταλλήλω
«Καλλάνδρα», διότι οἱ ἄνδρες τοῦ ῥηθέντος χωρίου εἶν
φύσει ὡραῖοι καὶ εὔρωστοι· εἶναι δὲ λείψανον τῆς ἀ
χαίας πόλεως Ἀφύτιδος.

Ἐπὶ τοῦ Ποσειδίου ἀκρωτηρίου τῆς χερσονήσου Πα
λήνης, ἐφ' οὗ κεῖται καὶ τὸ ἄνω ῥηθὲν χωρίον, ὑψοῦτ
πυργίσκος τις ἐπὶ τοῦ ὁποίου κρέμαται μέγας φανὸ
πρὸς ὁδηγίαν τῶν διαπλεόντων τὸν Θερμαϊκὸν κόλπ
ἀτμοπλοίων.

4. ΚΑΣΣΑΝΔΡΕΙΝΟΝ.

Τὸ χωρίον τοῦτο ἡμίσειαν ὥραν ἀπέχον τοῦ χωρί
«Καλλάνδρας» σύγκειται ἐκ δέκα καὶ ὀκτὼ οἰκιῶν, ἔχ
καὶ Ἐκκλησίαν τῇ προτροπῇ καὶ ἀόκνῳ ἐπιμελείᾳ το
πρώην Μητροπολίτου Κασσανδρείας Κ. Χρυσάνθου ἀν
γερθεῖσαν ἐκ βάθρων τῷ 1867 ἔτει. Διατηρεῖται δὲ μ
λις ἐν τῷ χωρίῳ τούτῳ ἰδιωτικὸν Σχολεῖον.

5. ΤΣΑΠΡΑΝΙ.

Ἐκ τριάκοντα περίπου συγκείμενον οἰκιῶν τὸ χωρί

τοῦτο κέκτηται καὶ Ἐκκλησίαν ὡς καὶ ἰδιωτικὸν Σχολεῖον. Εἶναι δὲ λείψανον τῆς ἀρχαίας πόλεως «Θράμβου», ἐξ ἧς πόλεως καὶ τὸ παρατεινόμενον ἀκρωτήριον Θράμβος καλεῖται. Τὴν πόλιν ταύτην Θεράμβω ἐκάλει Ἡρόδοτος ὁ τῆς ἱστορίας πατήρ.

6. ΧΑΝΙΩΤΗ.

Τὸ μικρότερον τῆς Χερσονήσου Παλλήνης χωρίον εἶναι τὸ παρὸν χωρίον, ἐξ ἑπτὰ μόλις συγκείμενον οἰκιῶν, ἔχον ἅμα καὶ μικράν τινα Ἐκκλησίαν.

7. ΠΑΛΗΟΥΡΙ.

Ἐπὶ τοῦ Καναστραίου ἀκρωτηρίου τῆς αὐτῆς Χερσονήσου κείμενον τὸ χωρίον τοῦτο ἐκ τεσσαράκοντα τριῶν περίπου οἰκιῶν σύγκειται· ἐπωνομάσθη δὲ τὸ ῥηθὲν χωρίον «Παληούρι», ὡς ἐκ τῶν ἐκεῖ εὑρισκομένων πολλῶν ἀκανθῶν, παρὰ τῶν κατοίκων Παληούρια καλουμένων· ἔχει δὲ καὶ Ἐκκλησίαν ὡς καὶ ἰδιωτικὸν Σχολεῖον, τῇ προτροπῇ τοῦ αὐτοῦ Ἱεράρχου Κ. Χρυσάνθου συστηθέν.

8. ΑΓΙΑ ΠΑΡΑΣΚΕΥΗ.

Τὸ χωρίον τοῦτο ἐπωνομάσθη οὕτως, ὡς ἐκ τῆς ἐκεῖ ἀρχαίας Ἐκκλησίας τῆς Ἁγίας Παρασκευῆς· σύγκειται δὲ ἐκ πεντήκοντα ὀκτὼ οἰκιῶν, ἔχει δὲ καὶ ἰδιωτικὸν Σχολεῖον.

9. ΚΑΨΟΧΩΡΑ.

Τὸ χωρίον τοῦτο εἶναι λείψανον τῆς ἀρχαίας πόλεως

Νεαπόλεως, ἐπωνομασθείσης οὕτω σήμερον, ὡς πυρποληθείσης κατὰ τὸ 1805 ἔτος ὑπὸ πολυαρίθμων πειρατῶν· σύγκειται δὲ νῦν ἐκ πεντήκοντα πέντε περίπου οἰκιῶν· κέκτηται δ' Ἐκκλησίαν ἤδη οὐκ εὐκαταφρόνητον, πρὸς δὲ καὶ Σχολεῖον Ἀλληλοδιδακτικὸν τῇ ἀξιεπαίνῳ προνοίᾳ τοῦ Σεβαστοῦ Μητροπολίτου Δέρκων Κ. Νεοφύτου (τότε Κασσανδρείας) συστηθέν.

10. ΠΟΛΥΧΡΟΟΝ.

Τὸ χωρίον τοῦτο ἀπέχει τῆς θαλάσσης κατὰ 1]4 περίπου τῆς ὥρας· ἐπωνομάσθη δ' οὕτως ὡς ἐκ τῶν ἐκεῖ πλείστων ποικιλοχρόων ἀνθέων· σύγκειται ἐκ δέκα ὀκτὼ οἰκιῶν· ἔχει δὲ καὶ Ἐκκλησίαν, ὡς καὶ δημοτικὸν Σχολεῖον.

11. ΠΑΖΑΡΑΚΙΑ.

Ἐκ τριάκοντα περίπου οἰκιῶν συγκείμενον τὸ χωρίον τοῦτο, ἔχει καὶ Ἐκκλησίαν ὡς καὶ μικρόν τι Σχολεῖον.

12. ΑΘΕΤΟΣ.

Τὸ χωρίον τοῦτο εἶναι λείψανον τῆς ἀρχαίας πόλεως «Σκιώνης», συγκείμενον ἐξ ἑβδομήκοντα περίπου οἰκιῶν σήμερον, καὶ ὂν τὸ μᾶλλον εὐάερον καὶ θελκτικὸν χωρίον τῆς χερσονήσου Παλλήνης, ἐπί τινος πρὸς τὸν Τορωναῖον κόλπον ἀκτῆς κείμενον.

Κέκτηται Ἐκκλησίαν λαμπρὰν μετὰ κομψοτάτου θόλου, ἐπ' ὀνόματι τοῦ ἁγίου Δημητρίου τοῦ Μυροβλήτου σεμνυνομένην, ἧς κατὰ τὴν ἀνέγερσιν οὐκ ὀλίγον συνε-

τέλεσε καὶ ὁ τῆς τοῦ Σίμωνος Πέτρας Μονῆς μοναχὸς Φίλιππος ὁ ἐκ Κεφαλληνίας ὁρμώμενος· ἔχει δὲ καὶ Ἀλληλοδιδακτικὴν Σχολὴν ὑπὸ τοῦ ἐλλογίμου Κ. Χρήστου Παραθυρᾶ διευθυνομένην.

γ΄. Περὶ τῶν Μετοχίων τῶν ἐπὶ τῆς Χερσονήσου Παλλήνης κειμένων.

Ἐκτὸς τῶν ἄνωθι χωρίων, ἐπὶ τῆς χερσονήσου Παλλήνης κεῖνται καί τινα Μετόχια, καθὼς καὶ ἐπὶ τῶν δύο ἄλλων χερσονήσων τῆς Σιθωνίας καὶ τῆς Ἀκτῆς ἢ τοῦ Ἄθω, ὡς καὶ ἐπὶ τῆς Καλαμαρίας. Τὰ μεγαλήτερα δὲ τῶν ἐπὶ τῆς Παλλήνης κειμένων Μετοχίων καὶ ἔτι προσοδοφόρα εἰσὶ τὰ ἑξῆς.

1. Δοχειαριτικὸν Μετόχιον (Τουρκ. Καπὺ Μετὸχ) ἐπὶ τῆς τοποθεσίας τῆς καθ᾽ ὁλοκληρίαν ἐξαφανισθείσης πόλεως Ποτιδαίας κείμενον.

2. Σιμοπετριτικὸν Μετόχιον κείμενον πλησίον τῆς θέσεως τῆς ἀρχαίας πόλεως Σάνης.

3. Διονυσιατικὸν Μετόχιον, κείμενον ἐπὶ τῆς θέσεως τῆς ἀρχαίας πόλεως Μένδης, (ἀποικίας οὔσης τότε τῶν Ἐρετριέων, κατὰ τὸν Ἡρόδοτον καὶ Θουκιδύδην.)

4. Ἐσφιγμενιτικὸν Μετόχιον.

5. Καρακαλληνὸν Μετόχιον.

6. Λαυριωτικὸν Μετόχιον.

7. Ἁγιοπαυλιτικὸν Μετόχιον, κείμενον ἐπὶ τῆς θέσεως τῆς πόλεως Αἰγῶν, ὅπου σώζεται ἐκ τῆς ἀρχαιό-

τητος τῆς πόλεως ἐκείνης ἐπί τινος κρημνοῦ πρὸς τὴν θάλασσαν καὶ μεγαλοπρεπής τις πύργος πρὸς μαρτυρίαν, χρησιμεύων ἤδη τοῖς ἐν τῷ Ἁγιοπαυλιτικῷ Μετοχίῳ ἐνασκοῦσι Μοναχοῖς.

Παρὰ τῷ Μετοχίῳ τούτῳ πρὸς τὸν Τορωναῖον κόλπον ὑπάρχει βράχος τις παραδόξως καὶ θαυμασίως ἐσχισμένος, ἐντὸς τοῦ ὁποίου δυσκόλως ὁ ἄνθρωπος εἰσερχόμενος διακρίνει μέρός τι ἐν σχήματι παρεκκλησίου, ἐν ᾧ σώζεται εἰσέτι ὁ ἐκ μαρμάρου κίων τῆς Ἱερᾶς Τραπέζης ὡς καὶ διάφοροι ἁγίων εἰκόνες ἐπὶ τοῦ τοίχου τοῦ φυσικοῦ ἀτέχνως ἐγγεγλυμμέναι. Ὀλίγόν τι περαιτέρω ὑπάρχει δεξαμενή τις φυσικὴ γέμουσα ὕδατος ἡγιασμένου. Λέγουσι δὲ οἱ Μοναχοὶ τοῦ ἄνω ῥηθέντος Μετοχίου ὅτι, ὅτε ὁ Ἀπόστολος Παῦλος ἐκήρυττε πρὸς τοὺς ἐν εἰδωλολατρείᾳ τότε διατελοῦντας Κασσανδρεῖς τὸ Εὐαγγέλιον, διωχθεὶς παρά τινων κατέφυγεν εἰς τὴν παραλίαν ταύτην, ὅπου, ἀπορίᾳ συσχεθέντος τοῦ Ἀποστόλου, ἀμέσως ὢ τοῦ θαύματος! διαῤῥήγνυται ὁ ῥηθεὶς βράχος, εἰς ὃν εἰσελθὼν τότε, καὶ κρύφα διδάσκων τοὺς παραγενομένους ἐβάπτιζεν αὐτοὺς ἐν τῇ ῥηθείσῃ δεξαμενῇ ὁ μακάριος Παῦλος.

8. Ῥωσσικὸν Μετόχιον, (1) παρὰ τῷ χωρίῳ Ἀθέτῳ κείμενον. Πλησίον τοῦ Μετοχίου τούτου παρὰ τὴν θάλασσαν Ἀμφιθέατρον Ἑλληνικὸν ἀνεκαλύφθη ὑπὸ τῶν

(1) Συνήθως τὸ Μετόχιον τοῦτο παρὰ τῶν πλησιοχώρων κατοίκων Ῥωσσικὸς Νερόμυλος καλεῖται ὡς ἐκ τοῦ παρακειμένου ὑδρομύλου.

τοῦ Μετοχίου μοναχῶν, ἀνασκαφὰς ποιησάντων κατὰ τὸ 1863 ἔτος. Παρὰ δὲ τῷ Ἀμφιθεάτρῳ τούτῳ ἀνεκαλύφθη προσέτι καὶ βωμός τις ὁλόκληρος. Ἀμφότερα δὲ, τό τε Ἀμφιθέατρον καὶ ὁ βωμὸς, μεταξὺ τοῦ χωρίου Ἀθέτου καὶ τοῦ Ῥωσσικοῦ Μετοχίου κείμενα διακρίνονται ἐπὶ ἀρχαιότητι καὶ ἐξαισίᾳ κατασκευῇ· ἔκ τε τῶν θεμελίων τοῦ Ἀμφιθεάτρου ὡς καὶ τοῦ βωμοῦ οἱ μοναχοὶ οὐκ ὀλίγα μεγάλα τετράγωνα μάρμαρα ἐξήγαγον· ἅπερ ἀφοῦ ἐχρησίμευσαν εἰς τὴν ἐκεῖ ἀνέγερσιν ναΐσκου τινος εἰς τὸ Ῥωσσικὸν ἀνήκοντος Μετόχιον, καὶ ἐγκαινιασθέντος τῷ 1866 ἔτει ὑπὸ τοῦ πρώην Μητροπολίτου Κασσανδρείας Κ. Χρυσάνθου, ἐστάλησαν καὶ κατὰ μέγα μέρος καὶ εἰς τὴν ἐν Ἄθωνι ἱερὰν Μονὴν τῶν Ῥώσσων πρὸς χρῆσιν ἀνοικοδομήσεως.

9. Ἁγιο-αναστασιτικὸν Μετόχιον. Ὑπάρχουσι δὲ καὶ ἄλλά τινα Μετόχια, τὰ ὁποῖα ὡς μικρὰ καὶ ὀλίγην πρόσοδον φέροντα παραλείπω συντομίαν χάριν.

δ'. Ἡ Χερσόνησος Σιθωνία.

Ἡ Χερσόνησος Σιθωνία, τανῦν Λογκὸς ἢ Σιγγιὰ ἐπονομαζομένη σήμερον, σύγκειται ἐκ πέντε χωρίων ἅπερ λείψανά εἰσι ἀρχαίων πόλεων.

Ἡ Χερσόνησος αὕτη εἶναι μεγαλητέρα κατά τε τὸ μῆκος καὶ πλάτος τῶν δύο ἄλλων χερσονήσων, τῆς Παλλήνης καὶ τῆς Ἀκτῆς.

Ἄρχεται δὲ αὕτη ἐκ τοῦ ποταμοῦ Χαβρίου, ὅστις ἐ-

χων τὰς πηγάς του πλησίον τῆς ἀρχαίας πόλεως Χαλκίδος (νῦν Βραστὰ καλουμένης) χύνεται εἰς τὸν Τορωναῖον κόλπον.

ε΄. Περὶ τῶν κατὰ τὴν Χερσόνησον Σιθωνίαν χωρίων.

Τὰ ἐπὶ τῆς χερσονήσου Σιθωνίας κείμενα χωρία εἰσὶν, ὡς ἄνω εἴρηται, πέντε τὸν ἀριθμόν. Ταῦτα δὲ εἰσί.

1. ΣΕΡΜΥΛΙΑ.

Τὸ χωρίον τοῦτο, ὅπερ λείψανον τῆς ἀρχαίας πόλεως Σερμύλης διατελεῖ καλεῖται σήμερον Σερμύλια καὶ Ὀρμύλια. Κεῖται δὲ εἰς τὰς ὑπωρείας τῆς νοτιο-ανατολικῆς πλευρᾶς τοῦ ὄρους Κύλλης, ὅπερ φέρει μεταλλεῖα χαλκοῦ, καὶ ἐκτείνεται μικρὸν ἐπὶ τῆς ἐκτεταμένης ἐκείνης πεδιάδος ἐχούσης ἀπόστασιν ἀπὸ τοῦ ῥηθέντος ὄρους μέχρι τῆς θαλάσσης δύο περίπου ὡρῶν· τὴν πεδιάδα ταύτην διαπερᾷ ὁ Χαβρίας ποταμὸς χυνόμενος πρὸς τὸν Τορωναῖον κόλπον· πάντες δὲ οἱ ἀγροὶ, ἄμπελοι, ἐλαιῶνες, συκαμινεῶνες καὶ ἄλλά τινα καρποφόρα δένδρα, κτήματα τῶν κατοίκων τοῦ χωρίου Σερμυλίας τυγχάνοντα, κεῖνται ἐπὶ τῆς πεδιάδος ταύτης.

Σύγκειται δὲ τὸ χωρίον Σερμύλια ἐκ τριακοσίων περίπου οἰκιῶν. Ἡ Ἐκκλησία τοῦ χωρίου τούτου εἶναι μεγάλη καὶ εὐρύχωρος, οὐχ ἧττον δὲ καὶ κεκοσμημένη·

σεμνύνεται δ' ἐπ' ὀνόματι τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου· ὑπάρχει δὲ καὶ Ἑλληνοαλληλοδιδακτικὴ Σχολή, λαμπρὸν τυγχάνουσα οἰκοδόμημα ἀναλόγως τοῦ χωρίου· ἀνηγέρθη ἐκ βάθρων αὕτη τῷ 1863 ἔτει, τῇ ἀξιεπαίνῳ προτροπῇ μὲν τοῦ τότε Μητροπολίτου Κασσανδρείας νῦν Δέρκων Κ. Νεοφύτου, τῇ γενναίᾳ δὲ συνδρομῇ τῶν τοῦ χωρίου τούτου κατοίκων.

Κατ' ἔτος τῇ ἑορτῇ τῶν ἁγίων Ἀποστόλων (Ἰουνίου 30) γίνεται ἐκεῖσε ἐμπορικὴ πανήγυρις, κατὰ τὴν διάρκειαν τῆς ὁποίας πλεῖστοι ἐκ διαφόρων πλησιοχώρων χωρίων ἐκεῖ μεταβαίνοντες μετὰ διαφόρων ἐμπορευμάτων πωλοῦσιν αὐτὰ ἢ ἀνταλλάσσουσιν.

Ὀλίγον τι δὲ μακρὰν τοῦ χωρίου ὑπάρχει παρά τινι ἐξωκκλησίῳ τῆς ἁγίας Τριάδος τὸ Νεκροταφεῖον τῶν κατοίκων, περιστοιχούμενον ὑπὸ τοίχου· ἀνηγέρθη δὲ τῷ 1866 ἔτει, ὑπὸ τοῦ πρῴην Μητροπολίτου Κασσανδρείας Κ. Χρυσάνθου.

Τὸ κλίμα δὲ τοῦ χωρίου τούτου εἶναι νοσῶδες. Κατὰ μῆνα Ἰούνιον, Ἰούλιον καὶ Αὔγουστον ἐπικρατεῖ μάλιστα ἐκεῖ πνιγηρὸς καύσων, ἐπιπολάζει δὲ καὶ σφοδρὸς πυρετός, οὐκ ὀλίγα θύματα αὐτοῦ παρεχόμενος.

2. ΝΙΚΗΤΗ.

Τὸ χωρίον τοῦτο ἀπέχον ἡμίσειαν ὥραν τῆς θαλάσσης κεῖται ἐγχωσμένον εἰς σχισμάδα τινα τοῦ ὄρους Κύλλης· σύγκειται δὲ ἐξ ἑκατὸν ἐννενήκοντα πέντε περίπου οἰκιῶν, ὑπάρχει δὲ καὶ Σχολεῖον Ἀλληλοδιδακτικόν. Ἡ ἐν τῷ χωρίῳ τούτῳ Ἱερὰ Ἐκκλησία τοῦ ἁγίου μάρτυρος

Νικήτα ἀνηγέρθη τῷ 1867 ἔτει, τῇ ἀξιεπαίνῳ προτροπῇ τε καὶ συνδρομῇ τοῦ πρώην Μητροπολίτου Κασσανδρείας Κ. Χρυσάνθου (1), συνδραμόντων καὶ πάντων τῶν κατοίκων τῆς Χαλκιδικῆς χερσονήσου.

---

(1) Ὁ Ἱεράρχης οὗτος εἶναι λίαν ἀξιέπαινος διὰ τοὺς κόπους καὶ μόχθους, οὓς κατέβαλε διὰ τὴν ἀνέγερσιν τῆς Ἐκκλησίας τοῦ περὶ οὗ ὁ λόγος χωρίου. Τὸ χωρίον Νικήτη ἐκέκτητο ἀρχαίαν τινα ἐκκλησίαν σμικροτάτην, ἐν ᾗ ἐκκλησιαζόμενοι οἱ κάτοικοι ἐστενοχωροῦντο μεγάλως ἕνεκα τῆς μικρᾶς χωρητικότητος αὐτῆς, πρὸ πάντων ὅμως ἐν καιρῷ χειμῶνος, διότι ἐξετίθεντο εἰς τὰς βροχὰς καὶ χιόνας τοῦ χειμῶνος. Μολονότι δ' ὑπέφερον τοιαῦτα καὶ τοσαῦτα δεινά, ἕνεκα τῆς ἀγροικίας καὶ ἀναισθησίας σχεδὸν ἀπὸ τόσων ἐτῶν διχονοοῦντες δὲν ἐπεχείρουν νὰ ἀνεγείρωσιν εὐρύχωρον Ἐκκλησίαν, καίτοι ἐπὶ τοσοῦτον προτρεψάντων αὐτοὺς τῶν κατὰ καιροὺς Ἀρχιερέων, Μητροπολιτῶν Κασσανδρείας τῶν ἀοιδίμων Δανιὴλ καὶ Ἰακώβου (τοῦ Πατριάρχου Ἀλεξανδρείας) Ἱερεμίου (ἐν Μιτυλήνῃ ἤδη διατρίβοντος), Ἰγνατιου (τοῦ ἀοιδίμου Μητροπολίτου Ἐλασσῶνος) καὶ Νεοφύτου (τοῦ νῦν Σεβασμιωτάτου Μητροπολίτου Δέρκων). Ἀλλ' ὁ ῥηθεὶς Ἱεράρχης Κασσανδρείας Κ. Χρύσανθος ὁ ἐκ Καισαρείας οὐκ οἶδ' ὅπως ἐπὶ τέλους κατέπεισε τοὺς κατοίκους τούτους ἵνα ἀνεγείρωσι τὸ ἱερὸν ἐκεῖνο οἰκοδόμημα.

Ἀλλὰ τότε καὶ τῆς ἀνεγέρσεως ἐγκριθείσης καὶ ἀποφασισθείσης, τῆς δὲ διὰ τὴν ἀνέγερσιν ἀναγκαιούσης ὕλης προπαρασκευασθείσης, πρὸς δὲ καὶ τοῦ Ἀρχιτέκτονος ἐπὶ παρουσίᾳ τοῦ ῥηθέντος Ἱεράρχου συμφωνηθέντος ἀκόμη, αἴφνης διαῤῥήγνηται διαφωνία μεγίστη μεταξὺ τῶν κατοίκων, εἰς δύο διαιρεθέντων φατρίας, ὧν οἱ μὲν ἔλεγον, ὅτι ἡ Ἐκκλησία πρέπει νὰ ἀνεγερθῇ ἐπὶ τοῦ παρὰ τῇ δεξιᾷ τοῦ χωρίου πλευρᾷ ὑψουμένου λόφου, οἱ δὲ ἔλεγον ὅτι πρέπει νὰ ἀνεγερθῇ ἐν τῷ μέσῳ τοῦ χωρίου (ἐπὶ θέσεως στενωποῦ καὶ βορβορώδους). Τέλος ὑπερισχυσάσης τῆς γνώμης τῆς εὖ φρονούσης μερίδος, ἧς ἡγεῖτο Γερο-Παναγιώτης τις, ἤρξατο μετὰ τὴν συμφιλίωσιν ἀμφοτέρων τῶν μερῶν ἡ ἀ-

Τὸ χωρίον Νικήτη εἶναι λείψανον τῆς ἀρχαίας πόλεως Γαληψοῦ. Ὀλίγόν τι μακρὰν τοῦ χωρίου πεδιάς τις ἐξαπλοῦται πρὸς τὴν θάλασσαν· ἐπὶ τῆς πεδιάδος ταύτης νέμονται ἐν καιρῷ χειμῶνος τὰ ποίμνια τῶν Βλάχων λεγομένων, τῶν μὲν ἐκ Βοδενῶν, τῶν δὲ ἐκ Στρωμνίτσης καὶ ἄλλων ἐκ Κεστεντηλίου μεταβαινόντων κατὰ Σεπτέμβριον εἰς τὰς πεδιάδας τῆς Χαλκιδικῆς χερσονήσου, κισλάδας καλουμένας, δι' ἃς πληρόνουσιν οὗτοι ἀναλόγως τῆς ἐκτάσεως τὸ ἀντίτιμον τῆς νομῆς εἰς ἑκάστην Κοινότητα, εἰς ἣν ἀνήκει ἑκάστη πεδιάς· ἀπέρχονται δὲ εἰς τὰ ἴδια μετὰ τῶν ποιμνίων κατὰ τὴν 25 Μαρτίου. Τὸ ἀντίτιμον δὲ τῆς νομῆς καὶ τῆς πεδιάδος τοῦ χωρίου τούτου οὐκ ὀλίγον συνετέλεσε τότε κατὰ τὴν οἰκοδομὴν

νέγερσις τοῦ ναοῦ κατὰ μῆνα Μάρτιον τοῦ 1867 ἔτους, ὅτε καὶ ἁγιασμοῦ τελουμένου παρὰ τοῦ περὶ οὗ ὁ λόγος Ἀρχιερέως ἐπὶ τῶν θεμελίων τοῦ ναοῦ, ἐτέθη ὁ θεμέλιος λίθος ἐπ' ὀνόματι τοῦ Ἁγίου Μάρτυρος Νικήτα (κατὰ τὸν τῆς παλαιᾶς ἐκκλησίας ἅγιον ἐξ οὗ καὶ τὸ ὄνομα ἔλαβε τὸ χωρίον), παρόντος τότε καὶ τοῦ προηγουμένου τῆς ἐν Ἄθωνι Μονῆς τοῦ Ξηροποτάμου Κ. Διονυσίου μετὰ καὶ τριῶν ἄλλων Μοναχῶν. Κατὰ τὴν οἰκοδομὴν ταύτην ἐπεστάτει ὁ περὶ οὗ ὁ λόγος Ἱεράρχης συντρέχων καὶ προμηθεύων αὐτοπροσώπως κατὰ πάντα τὰ ἀναγκαιοῦντα· καὶ ἤδη τὸ χωρίον τοῦτο κέκτηται μίαν λαμπρὰν ἐκκλησίαν καὶ μεγαλοπρεπῆ, καταθέλγουσαν τοὺς θεατάς, διότι φαίνεται μακρόθεν ὑψουμένη ἐπὶ τοῦ προῤῥηθέντος λόφου τοῦ ἐπικειμένου τῷ χωρίῳ, ὡς ἄνω εἴρηται, ὡς κομψότατον καὶ περικαλλὲς προπύργιον. Ἀλλ' ὢ τῆς ἀγνωμοσύνης! χολὴν ἀντὶ τοῦ μάννα ἀπέδωκαν τῷ ἀξιεπαίνῳ Ἱεράρχῃ Κ. Χρυσάνθῳ, τῷ καὶ αὐτὸ τὸ συμφέρον αὐτοῦ θυσιάσαντι δι' αὐτούς, οἱ στυγεροὶ οὗτοι κάτοικοι ἕνεκα ἀτομικῶν παθῶν καὶ παρανόμων αἰτήσεών των καταδιώξαντες αὐτὸν μετά τινων ὀλιγαρίθμων ἀσυνειδήτων.

τοῦ ἄνω ῥηθέντος ναοῦ τοῦ χωρίου Νικήτης, παρὰ Βασιλείου τινὸς ἐκ Κεστεντηλίου πληρωθὲν διὰ πέντε ἔτη.

3. ΠΑΡΘΕΝΩΝ.

Τὸ χωρίον τοῦτο κείμενον ἐπὶ τῆς σειρᾶς τοῦ δυσβάτου ὄρους Λίγγου σύγκειται ἐκ πεντήκοντα περίπου οἰκιῶν· ἔχει δὲ Ἐκκλησίαν, ὡς καὶ δημοτικὸν Σχολεῖον. Τὰς γαίας τοῦ χωρίου τούτου ἐσφετερίσθησαν δωροδοκήσαντες τὰς ἐν τῇ πόλει Θεσσαλονίκης πολιτικὰς ἀρχὰς οἱ ἄπληστοι Μοναχοὶ τῆς ἐν τῷ Ἄθωνι Μονῆς τοῦ Κωνσταμονίτου, ἐχούσης Μετόχιον γειτνιάζον τῷ χωρίῳ Παρθενῶνος. Καὶ ἤδη οἱ κάτοικοι οὐδὲν ποιήσαντες διὰ διαφοροτρόπων ἀγωγῶν ἐν Θεσσαλονίκῃ στεροῦνται ἀδίκως καὶ παραλόγως τῶν γαιῶν τῶν πρὸς ἐξοικονόμησιν τῶν πρὸς τὸ ζῆν αὐτῶν ἀναγκαίων ἐξαρκούντων μόλις, καὶ ὡς ἐκ τούτου εἰσὶν ἀξιοδάκρυτοι.

ΤΟΡΩΝΗ.

Τῆς ἀρχαίας ταύτης πόλεως, ἧς τὰ ἐρείπια μόνον σώζονται διατηρεῖται εἰσέτι ἀνέπαφον τὸ κατὰ τὴν θάλασσαν φρούριον Λήκυθον. Ἀναφέρει δὲ ἱστορικῶς περὶ τούτου ὁ Θουκιδύδης λέγων ἐν Κεφαλ. **113**. Βιβλ. **4** οὕτω πως.

« Οἱ δὲ Ἀθηναῖοι (ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται
« καθεύδοντες ὡς πεντήκοντα) ἐπειδὴ ἤσθοντο, οἱ μὲν
« τίνες ὀλίγοι διαφθείρονται ἐν χερσὶν αὐτῶν, τῶν δὲ
« λοιπῶν οἱ μὲν πεζῇ, οἱ δὲ ἐς τὰς ναῦς, ἐφρούρουν δύο,

« καταφυγόντες διασώζονται ἐς τὴν Λήκυθον τὸ φρού-
« ριον, ὃ εἶχον αὐτοὶ, καταλαβόντες ἄκρον τῆς πόλεως
« ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ· κατέ-
« φυγον δὲ καὶ Τορωναίων ἐς αὐτοὺς ὅσοι ἦσαν σφίσιν
« ἐπιτήδειοι ».

Καὶ Διόδωρος ὁ Σικελιώτης ἀναφέρει περί τινος συμμαχίας γενομένης μεταξὺ Τορωναίων καὶ Ὀλυνθίων, καὶ ἄλλων τινων γειτνιαζουσῶν πόλεων, οὕτω πως λέγων ἐν Κεφαλαίῳ 27, 16, νγ΄. « Τῶν μετασχουσῶν ταύτης
« τῆς συμμαχίας (τῶν Ὀλυνθίων ἐννοεῖ) ἦσαν ἄλλαιτε
« (πόλεις) καὶ αἱ ἑξῆς, Ποτίδαια, Τορώνη, Λήκυθος,
« Μηκύβερνα, ἴσως δὲ καὶ ἡ Ἄσσα, Πίλωρος, Σίγγος,
« Σάρτα, Σερμύλη, Ἄργιλος, Στάγειρος, Σκῶλος, Σπάρ-
« τωλος »·

Τὴν Τορωναίων καὶ Ὀλυνθίων συμμαχίαν καὶ τὰ νομίσματα μαρτυρεῖ, ἐν οἷς ἐπιγέγραπται ΟΛΥΝΘΙΩΝ ΚΑΙ ΤΟΡΩΝΑΙΩΝ ΑΙΟΝΟΜΟ (=ὁμόνοια) ἴδε Βριμελ. Προλεγόμενα σελ. 25.

Ἡ ἐξαφανισθεῖσα ἐπίσημος πόλις Τορώνη ἦτο τὸ πάλαι μία τῶν μεγαλητέρων πόλεων τῆς χερσονήσου Σιθωνίας, ὡς καὶ ἡ πόλις Σίγγος (νῦν χωρίον Συκιὰ) ἐπὶ τῆς ἀνατολικῆς τῆς χερσονήσου πλευρᾶς κειμένη, δοῦσα δὲ καὶ τὸ ὄνομα αὐτῆς εἰς τὸν Σιγγιτικὸν κόλπον. Ἀπὸ δὲ τῆς Τορώνης ὠνομάσθη καὶ ὁ ἕτερος κόλπος Τορωναῖος.

4. ΣΥΚΙΑ.

Τὸ χωρίον τοῦτο εἶναι λείψανον τῆς ἀρχαίας πόλεως Σιγγοῦ, ἐξ ἧς ὠνομάσθη, ὡς εἴρηται ἄνω, καὶ ὁ κόλπος ὁ

τὴν χερσόνησον Σιθωνίαν περιβρέχων, καὶ πρὸς τὸ Αἰγαῖον τείνων πέλαγος, Σιγγιτικός. Σύγκειται δ' ἐκ τριακοσίων εἴκοσι περίπου οἰκιῶν, κειμένων παρὰ τῇ ὑπωρείᾳ τοῦ πετρώδους ὄρους Λίγγου. Ἡ Ἐκκλησία τοῦ χωρίου τούτου εἶναι ἀρχαῖα, καεῖσα κατὰ τὸ ἥμισυ ἐπὶ τοῦ Κριμαϊκοῦ πολέμου (1855) ὑπὸ τῶν Ἑλλήνων, ὧν ἀρχηγὸς ἦν τότε ὁ διαβόητος Τσάμος ὁ Καρατάσσος, (ὁ ὁποῖος κατετάραξε δι' ἀπατηλῶν καὶ ἀδυνάτων λόγων τοὺς ἐφησυχάζοντας Κασσανδρεῖς)· ἔκαυσαν δὲ ταύτην, ἐπειδὴ ὁ Ὀθωμανικὸς στρατὸς ὡς ἐν φρουρίῳ περικλεισθεὶς ἐντὸς τῆς Ἐκκλησίας ἐκ τῶν παραθύρων ἐπυροβόλει κατὰ τῶν Ἑλλήνων· ἤδη δὲ ἀνεγερθεῖσα παρὰ τῶν κατοίκων ἐπὶ τῶν ἡμικαύστων σχεδὸν θεμελίων διατελεῖ πάντῃ ἄκοσμος.

Περὶ τῆς ἀρχαιότητος τῆς χώρας Συκιᾶς σημειωτέον καὶ τοῦτο ὅτι, ἔν τινι ἀγρῷ ἱερέως τινος τοῦ χωρίου τούτου, μεταξὺ Συκιᾶς καὶ Τορώνης κειμένῳ, ἀνεκαλύφθησαν Μακεδονικὰ χρυσᾶ νομίσματα πλεῖστα καὶ εὐμεγέθη, ἔχοντα δὲ προτομὴν βασιλέως τῆς Μακεδονίας, οὗ τὸ ὄνομα καίπερ ἐν τοῖς νομίσμασιν ὂν ἐγκεχαραγμένον ἀπέβη ὅμως ἤδη, ὡς ἐφθαρμένον ἐκ τῆς πολυκαιρίας δυσανάγνωστον. Σώζονται δὲ κατὰ τὴν ῥητὴν ὁμολογίαν ἱερέως τινος τοῦ χωρίου Συκιᾶς παρὰ τῷ Σεβ. Μητροπολίτῃ Δέρκων Κ. Νεοφύτῳ τινὰ τῶν νομισμάτων τούτων, ὡς δωρηθέντα τῇ Α. Σεβασμιότητι παρὰ τοῦ ἀνακαλύψαντος τὰ νομίσματα ταῦτα ἱερέως ἀρχαιότητος χάριν.

Ὑπάρχει δὲ ἐν τῷ χωρίῳ τούτῳ καὶ Ἀλληλοδιδακτικὴ Σχολή.

ΣΑΡΤΗ.

Καὶ αὕτη ἦν ποτε λαμπρὰ πόλις ἀρχαία ἐπὶ τοῦ ἀκρωτηρίου Ἀμπέλου κειμένη, ἧς ὅμως οὐδὲ ἴχνος σώζεται· χρησιμεύει δὲ σήμερον ὡς χειμάδιος κατοικία τινῶν τῶν κατ' ἔτος ἐν τῇ Χαλκιδικῇ χερσονήσῳ ἐνδημούντων Βλάχων· γεωργοῦνται δὲ αἱ γαῖαι αὐτῆς ὑπὸ τῶν καλογήρων τοῦ Ἁγίου Ὄρους, τῶν εἰς τὰ ἐκεῖσε ἱδρυμένα μικρὰ μετόχια κατοικούντων.

5. ΑΓΙΟΣ ΝΙΚΟΛΑΟΣ

Τὸ χωρίον τοῦτο ἐξ ἑκατὸν ἑβδομήκοντα περίπου οἰκιῶν συγκείμενον κατέχει λαμπρὰν καὶ ἐξαίρετον τοποθεσίαν, ἕνεκα τῆς μαγευτικῆς θέας τοῦ Σιγγιτικοῦ κόλπου, καὶ τῆς ἀπέναντι χερσονήσου Ἀκτῆς ἢ τοῦ Ἄθω, ὁμοιαζούσης μὲ στεφανίδα, ἣν ὡς ἀδάμαντες καὶ μαργαρῖται περικοσμοῦσιν αἱ 24 εὐαγεῖς Μοναί, τὰ σεπτὰ ταῦτα κειμήλια τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας. Καὶ ἐν αὐτῷ τῷ χωρίῳ οὐκ ὀλίγους κόπους κατέβαλεν ὁ Σεβάσμιος Μητροπολίτης πρώην Κασσανδρείας Κ. Χρύσανθος, ὅπως ἐκ βάθρων ἀνεγείρῃ Ἑλληνικὴν καὶ Ἀλληλοδιδακτικὴν Σχολὴν μυρία προσκόμματα ἀπαντήσας παρὰ τῆς μερίδος τῶν ἀγενῶν καὶ ἀφιλομούσων τοῦ χωρίου τούτου κατοίκων.

Δύο περίπου ὥρας καταβαίνων τις ἐκ τοῦ χωρίου τούτου πρὸς τὴν θάλασσαν ἀπαντᾷ ἐν τῷ Σιγγιτικῷ κόλπῳ παρὰ τῇ ξηρᾷ φυσικὸν ἀξιοθαύμαστόν τινα λιμένα, ἐκ μικρῶν νησιδίων ἀποτελούμενον καὶ διαφόρους φυσι-

κὰς εἰσόδους τε καὶ ἐξόδους ἔχοντα, καλούμενον δὲ Βουρβουροῦν.

Ἐν τῷ φυσικῷ τούτῳ λιμένι οἱ πλεῖστοι τῶν κατοίκων ἐνασχολοῦνται περὶ τὴν ἁλιείαν διαφόρων ἰχθύων μαλακίων καὶ ὀστρακοδερμάτων· ἐκ τοῦ λιμένος τούτου καὶ μάλιστα ἐκ τῶν δύο κόλπων τοῦ τε Σιγγιτικοῦ καὶ Τορωναίου ἐξάγεται ὁ περίφημος ὀκτάπους, καὶ τόσοι ἄλλοι ἰχθύες.

6. ΜΕΤΑΓΚΙΤΣΙΟΝ (1)

Τὸ χωρίον τοῦτο λείψανον τῆς ἀρχαίας πόλεως Πιλώρου διατελοῦν σύγκειται ἐκ τεσσαράκοντα οἰκιῶν μετὰ Ἐκκλησίας καὶ δημοτικοῦ Σχολείου.

Τὸ χωρίον τοῦτο ὠνομάζετο Μετωκίσθιον μετὰ τὴν καταστροφὴν τῆς πόλεως Πιλώρου, ὡς ἐκ τῆς ἐκεῖσε μετοικήσεως καὶ ἄλλων, κατοίκων ξένων χωρίων. Ἤδη δὲ, χυδαϊκώτερον Μεταγκίτσι καλεῖται.

ς'. Περὶ τῶν Μετοχίων τῶν ἐπὶ τῆς χερσονήσου Σιθωνίας κειμένων.

Τὰ ἀξιοσημείωτα τῶν ἐπὶ τῆς χερσονήσου Σιθωνίας

(1) Συγκατηριθμήθη δὲ καὶ τὸ χωρίον τοῦτο μετὰ τῶν λοιπῶν τῆς Χερσονήσου Σιθωνίας πέντε χωρίων ὡς κείμενον ἐπὶ θέσεως, ἐξ ἧς ἄρχεται σχεδὸν ἡ περιγραφηθεῖσα Χερσόνησος Σιθωνία.

κειμένων Μετοχίων (1) ὡς μεγαλητέρων καὶ ἔτι προσοδοφόρων εἰσὶ τὰ ἑξῆς:

1. Ζωγραφιτικὸν Μετόχιον παρὰ τῷ Χαβρίῳ ποταμῷ κείμενον.

2. Βατοπεδινὸν Μετόχιον πλησίον τοῦ αὐτοῦ ποταμοῦ.

3. Γρηγοριατικὸν Μετόχιον, παραλίως τοῦ Τορωναίου κόλπου κείμενον, καὶ ἀπέχον τοῦ χωρίου Παρθενῶνος ἡμίσειαν περίπου ὥραν.

4. Παντοκρατορινὸν, παρὰ τῷ Κωφῷ λιμένι κείμενον.

5. Διονυσιατικὸν, παρὰ τῇ τοποθεσίᾳ τῆς ἀρχαίας πόλεως Σάρτης.

6. Ζωγραφιτικὸν Μετόχιον ἕτερον ἐπὶ τῆς ἀνατολικῆς πλευρᾶς τῆς χερσονήσου κείμενον ἐν σχισμάδι τινὶ τοῦ ὄρους Λίγκου, ἐν ᾧ πλῆθὺς ἡδυλάλων ἀηδόνων ἐμφωλεύει μελίῤῥυτα ᾄσματα ἀπαγγελλόντων ἐν σεληνοφεγγεῖ νυκτί.

7. Ξενοφωντινὸν Μετόχιον, γειτνιάζον τῷ χωρίῳ τοῦ ἁγίου Νικολάου.

8. Διονυσιατικὸν Μετόχιον ἕτερον, ἡ Νερόμυλος, ὡς καλεῖται ἤδη, κείμενον παραπλεύρως τῶν τοῦ Χαβρίου ποταμοῦ ῥοῶν.

9. Δοχειαρίτικον Μετόχιον, Βεργαρδίκι καλούμενον, εἰς τὸν μυχὸν τοῦ Σιγγιτικοῦ κόλπου ἐπὶ τῆς παραλίας

---

(1) Ὑπάρχουσι δὲ καὶ ἕτερα Μετόχια ἄλλων Μονῶν τοῦ ὄρους Ἄθω ἐπὶ τῆς Χερσονήσου Σιθωνίας ὡς καὶ ἐπὶ τῶν χερσονήσων Παλλήνης καὶ Ἀκτῆς, ὡς καὶ ἐπὶ τῆς Καλαμαρίας, ἀλλὰ διὰ τὸ ἡμιεπίσημον τούτων ἀναγκαζόμεθα ἵνα παραλείψωμεν ταῦτα ἀγαπῶντες τὴν συντομίαν.

ἱδρυμένον κατέχει ἤδη ἐν μέρει τὴν θέσιν τῆς ἀρχαίας πόλεως Ἄσσης, ἧς διαφόρων οἰκοδομῶν ἐρείπια φαίνονται ἐπιδεικνύοντα τὴν μεγαλοπρέπειαν καὶ τὸν πολιτισμὸν τῶν δυστυχῶν ἐκείνων κατοίκων αὐτῆς.

ζ΄. Ἡ χερσόνησος Ἀκτὴ ἡ τοῦ Ἄθω.

Ἡ χερσόνησος τοῦ Ἄθω, ἡ καὶ Ἀνατολικὴ Ἀκτὴ τὸ πρότερον καλουμένη, καλεῖται σήμερον Ἅγιον Ὄρος, ὡς γνωστὸν ἀκόμη καὶ ἐκ τοῦ τίτλου τῆς ἐπισκοπῆς τοῦ ἐπισκόπου, Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους τιτλοφορουμένου. Ἐπὶ τῆς χερσονήσου ταύτης ἔκειντό ποτε πέντε πόλεις, τὸ Δῖον, ἡ Ὀλόφυξος, ἡ Θύσσος, αἱ Κλεωναί, καὶ ἡ Ἀκρόθωος (Ἀκραθώους)· σὺν αὐταῖς δὲ καὶ ἡ πόλις Σάνη (1), ἥτις ἔκειτο ἐν ἀρχῇ τῆς δωδεκασταδίου διώρυγος, δι' ἧς ὁ ἀλαζὼν ἐκεῖνος ἡγεμὼν Ξέρξης διέκοψεν ὡς γνωστὸν ἐκ τῆς ἱστορίας τὸν ἰσθμὸν τὸν συνέχοντα τὸν Ἄθω μετὰ τῆς ἠπείρου. Ἀναφέρει δὲ καὶ Θουκυδίδης περὶ τῶν ἄνω πόλεων ἐν Βιβλ. 15 Κεφ. 100—110 λέγων οὕτω.

« Ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα (ἡ Ἀκτή), καὶ ὁ Ἄθως αὐτῆς ὄρος ὑψηλὸν τελευ-

(1) Τὴν ἐπ' ἐκείνων τῶν χρόνων ὕπαρξιν τῆς πόλεως Σάνης καταδείκνυσιν ἀκόμη καὶ σήμερον ἡ πληθὺς τῶν ἐν αὐτῇ σωζομένων μόλις ἀρχαίων κτιρίων, διαφόρων ἄλλων οἰκοδομῶν, καὶ τῶν κατερειπωμένων αὐτῆς φρουρίων.

τᾷ εἰς τὸ Αἰγαῖον Πέλαγος. Πόλεις δὲ ἔχει Σάνην μὲν Ἀνδρίων ἀποικίαν παρ' αὐτὴν τὴν διώρυχα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος τετραμμένην, τὰς δὲ ἄλλας Θύσσον καὶ Κλεωνὰς καὶ Ἀκραθώους καὶ Ὀλόφυξον καὶ Δῖον· αἳ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων· καί τι καὶ Χαλκιδικὸν ἔνι βραχὺ, τὸ δὲ πλεῖστον Πελασγικὸν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων καὶ Βισαλτικὸν καὶ Κρηστωνικὸν καὶ Ἤδωνες· κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι ».

Ἤδη δὲ, τῶν ἀρχαίων τε καὶ ἐπισήμων τούτων πόλεων πάντῃ ἐκλιπουσῶν τῆς Ἀκτῆς, ὑψοῦνται μεγαλοπρεπῶς εἴκοσι Ἱεραὶ Μοναὶ μετὰ διαφόρων Σκητῶν, ὑπὸ εὐσεβεστάτων Αὐτοκρατόρων Βυζαντινῶν ἱδρυθεῖσαι, ἐν αἷς Μοναῖς ἐνδιαιτῶνται βίον διάγοντες μοναχικὸν πολυάριθμοι μοναχοὶ, οἵτινες ἐγκαταλιπόντες τὸ μάταιον καὶ πολύφροντι τοῦ βίου τούτου, ὑπὲρ τῶν ὑπερκοσμίων μεριμνῶσιν ἀδιαλείπτως δεόμενοι τοῦ Ὑψίστου μετ' ἀγρυπνιῶν ἐπανειλημμένων ὑπὲρ τῆς ψυχικῆς τῶν ἀνθρώπων σωτηρίας· ἐν τοῖς ἱεροῖς τούτοις καταγωγίοις διάφορα σώζονται Ἁγίων Λείψανα, τὰ ἀνεκτίμητα τῆς Χριστιανικῆς θρησκείας κειμήλια, ἤτοι Κάραι ἁγίων, κρόταφοι, σιαγόνες, ὀδόντες, χεῖρες καὶ πόδες Μαρτύρων, ὡς καὶ ὑφάσματα σχεδὸν βεβαμμένα τοῖς διὰ τὴν εἰς Χριστὸν ἀγάπην ἐκχυθεῖσιν αἵμασι τοσούτων Μαρτύρων. Πρὸς τούτοις σώζονται ἐν τισι Μοναῖς καὶ τεμάχια τοῦ Τιμίου Σταυροῦ, καὶ αὐτὰ ἀκόμη τὰ τίμια δῶρα τῶν Μάγων, καὶ πλεῖστα ἄλλα ἱερὰ κειμήλια.

Ἐν τῷ μέσῳ σχεδὸν τοῦ ὄρους Ἄθω κεῖται ἡ κωμό-

πολις Καρυαὶ καλουμένη, ἐκ πενταχοσίων δὲ καὶ ἐπέκεινα οἰκημάτων καὶ ἐργαστηρίων συνισταμένη, ἐν οἷς διακρίνεται τὸ Ἐπαρχεῖον, ἐν ᾧ διαμένει ὁ τοῦ τμήματος ἐκείνου ἔπαρχος, πλησίον δ' αὐτοῦ καὶ τὸ οἴκημα καλούμενον Πρωτάτον, ἔνθα ἱερὰ συνέρχεται σύναξις τῶν εἴκοσι ἀντιπροσώπων, τῶν καθ' ἕκαστον ἔτος ὑπὸ τῶν ὁσίων Πατέρων τῶν εἴκοσι Μονῶν ἐκλεγομένων, οἵτινες διέπουσι τὰς ὑποθέσεις πάντων τῶν ῥηθεισῶν Μονῶν καὶ προβουλεύονται περὶ παντὸς τοῦ ἀφορῶντος τὰ συμφέροντα, τά τε οἰκονομικὰ καὶ διοικητικὰ τῶν ἱερῶν Μονῶν.

Ἐπὶ μὲν τῆς νοτιοδυτικῆς πλευρᾶς τῆς χερσονήσου Ἀκτῆς κεῖνται αἱ ἑξῆς δέκα ἱεραὶ Μοναί.

1. Ἡ Ἱερὰ Μονὴ τοῦ Ξηροποτάμου.

2. Ἡ τοῦ Διονυσίου κατέχουσα τὴν θέσιν τῆς ἀκμαζούσης ποτε πόλεως Θύσσου.

3. Ἡ τῶν Ῥώσσων, ἢ Ῥωσσικὴ Μονὴ κειμένη ἐπὶ τῆς θέσεως τῆς πόλεως Κλεωνῶν.

4. Ἡ Ἱερὰ Μονὴ τῆς Σίμωνος Πέτρας κειμένη ἐφ' ὑψηλοτάτων καὶ κρημνωδῶν βράχων τοῦ Νυμφαίου ἀκρωτηρίου.

5. Ἡ τοῦ Ἁγίου Παύλου Μονή.

6. Ἡ τοῦ Γρηγορίου.

7. Ἡ τοῦ Δοχειαρίου, παραλίως κειμένη πρὸς τὸν Σιγγιτικὸν κόλπον.

8. Ἡ τοῦ Ξενοφῶντος.

9. Ἡ τοῦ Κωνσταμονίτου καὶ

10. Ἡ τοῦ Ζωγράφου.

Ἐπὶ δὲ τῆς βορειοανατολικῆς πλευρᾶς τῆς αὐτῆς χερσονήσου κεῖνται ἄλλαι δέκα Μοναὶ, αἱ ἑξῆς:

1. Ἡ ἀρχαιοτάτη καὶ πρώτη τῶν ἄλλων Ἱερὰ Μονὴ τῆς Λαύρας ἐπὶ τῆς ἐξαφανισθείσης ἀρχαίας πόλεως Ἀκροθώου (Οὐρανοπόλιδος ἀρχαιότερον καλουμένης)· τῆς Μονῆς ταύτης ἱδρυταὶ εἰσὶν οἱ ἀοίδιμοι καὶ εὐσεβεῖς Αὐτοκράτορες τῶν Βυζαντινῶν χρόνων Νικηφόρος καὶ Ἰωάννης.

2. Ἡ τοῦ Καρακάλου Μονή.

3. Ἡ τοῦ Φιλοθέου.

4. Ἡ τοῦ Σταυρονικήτα ἐπὶ τῆς θέσεως τῆς ἀρχαίας πόλεως Ὀλοφύξου κειμένη.

5. Ἡ τοῦ Παντοκράτορος.

6. Ἡ τοῦ Κουτλουμουσίου.

7. Ἡ τοῦ Βατοπεδίου.

8. Ἡ τοῦ Ἐσφιγμένου.

9. Ἡ τῶν Ἰβήρων, καί

10. Ἡ τοῦ Χιλανδαρίου Μονή.

Ὑπάρχουσι πρὸς ταύταις καὶ πολλαὶ ἱεραὶ Σκῆται, ἐπὶ τῆς αὐτῆς χερσονήσου κείμεναι, καὶ ὑπὸ τὴν ἄμεσον δικαιοδοσίαν τινων τῶν ἄνω ἀπαριθμηθεισῶν ἱερῶν Μονῶν ὑπαγόμεναι τινὲς τούτων, ἐκ τῶν ὁποίων αἱ μᾶλλον ἀξιοσημείωτοι εἰσὶν αἱ ἑξῆς:

1. Ἡ Ἱερὰ Σκήτη τῆς Ἁγίας Ἄννης.

2. Ἡ τῶν Καυσοκαλύβων.

3. Ἡ Νέα λεγομένη Σκήτη, καὶ

4. Ἡ τοῦ προφήτου Ἰωάννου τοῦ Προδρόμου.

Αὗται ὑπάγονται ὑπὸ τὴν δικαιοδοσίαν τῆς Μονῆς Λαύρας.

Ἡ δὲ Σκήτη τοῦ Ἁγίου Ἀνδρέου, Σεράγιον συνήθως

καλουμένη, ὑπὸ τὴν δικαιοδοσίαν τῆς Ἱερᾶς Μονῆς τοῦ Βατοπεδίου ὑπάγεται.

Ἐπὶ τῆς ὑψηλοτάτης κορυφῆς τοῦ ὄρους Ἄθω κεῖται παρεκκλήσιόν τι ἐπ' ὀνόματι τῆς Θείας Μεταμορφώσεως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου παρεκκλησίου αἱ Δεσποτικαὶ εἰκόνες εἰσὶν ὀρειχάλκιναι (ὡς ἠκούσαμεν παρά τινων Μοναχῶν, καθότι αὐτόπται οὐκ ἐγενόμεθα) ἵνα μὴ διαῤῥαγῶσι ξύλιναι οὖσαι ἕνεκα τοῦ ἐπικρατοῦντος ἐκεῖ ὑπερβολικωτάτου ψύχους· ἐν τῷ παρεκκλησίῳ τούτῳ ἅπαξ τοῦ ἔτους κατὰ τὴν ἑορτὴν τῆς Μεταμορφώσεως (6 Αὐγούστου) τελεῖται ἡ θεία λειτουργία παρά τινων Μοναχῶν, μετὰ μεγάλου κόπου ἀναβαινόντων τὴν οὐρανομήκη ταύτην τοῦ Ἄθω κορυφήν. Λέγεται δὲ πρὸς τούτοις ὅτι, ἐάν τις περιεργείᾳ ὠθούμενος ἀναβῇ ἐπὶ τῆς ῥηθείσης κορυφῆς τοῦ Ἄθω δύναται νὰ διακρίνῃ εἰ καὶ τόσον μακρὰν, τὴν τῶν πόλεων βασιλίδα Κωνσταντινούπολιν διὰ τηλεσκοπίου, ὑπὸ γαλήνιον ὅμως καὶ ἀνέφελον οὐρανόν. Τὸ τοιοῦτον, κατ' ἐμὴν ἰδέαν, φαίνεται λίαν ἀπίθανον, ἀλλ' ἴσως πάλιν, οἱ ἐν τῷ Ἁγιωνύμῳ τούτῳ Ὄρει ἐνασκοῦντες Μοναχοὶ νὰ ἐδοκίμασαν πρὸς πολλοῖς ἄλλοις περιεργείας ἀξίοις καὶ τοῦτο.

Περὶ τοῦ Δ'. Τμήματος.

Τὸ ἕτερον τμῆμα, τὸ καὶ συνεχόμενον μετὰ τῶν τριῶν περιγραφεισῶν χερσονήσων, τῆς Παλλήνης, τῆς Σιθω-

νίας καὶ τῆς Ἀκτῆς, ὑποδιαιρεῖται εἰς τρία μέρη, ὑπαγόμενα ἐκκλησιαστικῶς τὸ μὲν, ὅπερ καὶ καλεῖται Καλαμαρία, καὶ αὐτὸ μόνον θέλομεν περιγράψει (1), ὑπὸ τὴν δικαιοδοσίαν τοῦ Μητροπολίτου Κασσανδρείας, τὰ δὲ ἄλλα δύο, ἅπερ λίαν περιληπτικῶς θέλομεν διέλθει περιγράφοντες, ὑπὸ τὴν δικαιοδοσίαν δύο ἐπισκόπων τοῦ Μητροπολίτου Θεσσαλονίκης, τοῦ ἐπισκόπου Ἀρδαμερίου καὶ τοῦ ἐπισκόπου Ἱερισσοῦ. Διοικοῦνται δὲ πολιτικῶς ἤδη ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ ἐπάρχου, ἐξαιρουμένων ὀλίγων τινων χωρίων πλησίον τῆς πόλεως Θεσσαλονίκης κειμένων. Τὸ τμῆμα τοῦτο, ἐκ πεδιάδος ἐκτεταμένης μεθ' ὑψηλοτάτων ὀρέων συνιστάμενον καλεῖται ὡς ἄνω εἴρηται Κ α λ α μ α ρ ί α. Λέγεται δὲ, ὅτι τὸ μέρος τοῦτο ἀνῆκέ ποτε εἰς τὴν ἐξουσίαν Μαρίας τινος ἀδελφῆς ἡγεμόνος τῶν Μακεδόνων, ἐπικαλουμένης Καλῆς, καὶ ὡς ἐκ τούτου ἐκλήθη Καλὴ Μαρία, καὶ ἀκολούθως Καλαμαρία. Ἄρχεται δὲ ἔξωθεν τοῦ χερσαίου τείχους τῆς παρακειμένης πόλεως Θεσσαλονίκης καὶ ἐκτείνεται μέχρι τοῦ ἰσθμοῦ τῆς Παλλήνης ἔνθα καὶ ἀποτελεῖται κατὰ πλάτος ὁ μυχὸς τοῦ Τορωναίου κόλπου. Ἐπὶ τῆς πεδιάδος ταύτης τῆς Καλαμαρίας, ὡς καὶ τῶν ἐπικειμένων ὀρέων κεῖνται πλεῖστα χωρία, τινὰ τούτων λείψανα ὄντα ἀρχαίων πόλεων. Ταῦτα δὲ εἰσὶ τὰ ἑξῆς :

---

(1) Τοῦτο μόνον τὸ μέρος θέλομεν περιγράψει, ὡς αὐτὸ περιηγηθέντες μετὰ τοῦ πρώην Μητροπολίτου Κασσανδρείας Κ. Χρυσάνθου. Τὰ δὲ ἄλλα δύο μέρη, καὶ περιγραφῆς οὐ χρήζουσιν, ὡς οὐδεμίαν σημαντικότητα ἀρχαιοτήτων φέροντα, ἐκτὸς ὀλίγων τινων.

1. ΠΟΥΡΝΑΡΙ.

Τοῦτο ὡς ἔπαυλις ἐπισήμου τινος Ὀθωμανοῦ Θεσσαλονικέως διατελοῦν ἐκ πέντε περίπου οἰκιῶν σύγκειται. Κατοικεῖται δὲ ὑπὸ μετοίκων Βουλγάρων, γεωργούντων τὰς γαίας αὐτοῦ ὡς δούλων τοῦ ἰδιοκτήτου.

2. ΤΑΓΑΡΤΣΗΚΙ.

Καὶ τοῦτο ἔπαυλις τυγχάνον σύγκειται ἐκ δεκατεσσάρων περίπου οἰκιῶν οἰκουμένων ὑπὸ γεωργῶν Βουλγάρων μισθωτῶν.

3. ΜΑΤΖΑΡΙΔΕΣ.

Τὸ χωρίον τοῦτο ἐκ δεκαοκτὼ περίπου συγκείμενον οἰκιῶν ὑπὸ Βουλγάρων καὶ τούτων οἰκουμένων, ὡς ἔπαυλις διατελεῖ Ὀθωμανοῦ τινος ἄρχοντος τῆς πόλεως Θεσσαλονίκης.

Μεταξὺ τῶν δύο χωρίων Ταγαρτσηκίου καὶ Ματζάριδες εὑρίσκονται τὰ ἐπίσημα ὡς πρὸς τὸ μέρος ἐκεῖνο Θειοῦχα λουτρὰ, εἰς ἃ κατ' Αὔγουστον μῆνα ἑκάστου ἔτους πλεῖστοι τῶν ἐπισήμων Θεσσαλονικέων μεταβαίνουσιν ἐκεῖσε ἐκ τῆς πόλεως Θεσσαλονίκης, ἀπεχούσης τρεῖς σχεδὸν ὥρας, χάριν τῆς πασχούσης αὐτῶν ὑγιείας· ἐκεῖσε δ' ἀφικόμενοι οὗτοι ἀμέσως πηγνύουσι σκηνὰς, ὑπὸ τὰς ὁποίας δέκα σχεδὸν ἡμέρας διημερεύουσι ποιοῦντες χρῆσιν τῶν θειούχων λουτρῶν καὶ συνάμα διασκεδάζοντες ἐν τῇ θελκτικωτάτῃ ταύτῃ ἐξοχῇ.

4. ΣΕΔΕΣ.

Τὸ χωρίον τοῦτο εἶναι ἰδιοκτησία τινὸς τῶν τὰ πρῶτα

φερόντων ἐν Θεσσαλονίκῃ, Ἰωάννου Ῥογκότου καλουμένου· σύγκειται δὲ ἐξ εἰκοσιπέντε περίπου οἰκιῶν. Φαίνεται τὸ χωρίον τοῦτο ὅτι κατέχει τι ἀρχαιότητος, καθότι ὀλίγα τινα βήματα μακρὰν αὐτοῦ διετηρήθησαν μέχρι τῆς σήμερον ἐκ τῆς ἀρχαίας ἐκείνης ἐποχῆς τὰ λείψανα ἐπικιονείων ὑδραγωγείων, ἐπισυρόντων εἰσέτι τὸν θαυμασμὸν τοῦ θεατοῦ· πέριξ δὲ τῶν ἀρχαίων τούτων ὑδραγωγείων πληθὺς οὐρανομήκων κυπαρίσσων καὶ λεύκων φαίνεται, εὐχάριστον τοῖς κατοίκοις παρεχόντων τὴν σκιὰν αὐτῶν.

5. ΑΓΙΑ ΠΑΡΑΣΚΕΥΗ.

Καὶ τὸ ἐν εἴδει ἐπαύλεως χωρίον τοῦτο σύγκειται ἐκ δεκαπέντε περίπου οἰκιῶν μετ' ἐκκλησίας μικρᾶς.

6. ΒΑΣΙΛΙΚΑ.

Τὸ χωρίον τοῦτο τέσσαρας περίπου ὥρας ἀπέχον τῆς πόλεως Θεσσαλονίκης εἶναι τὸ μεγαλήτερον πάντων τῶν ἐπὶ τῆς Κροσσαίης (νῦν Καλαμαρίας) κειμένων, χωρίων, κεῖται δὲ μεσογείως ἐπὶ κοιλάδός τινος, ἧς ἐν τῷ μέσῳ καταῤῥέει πρὸς τὸν Θερμαϊκὸν κόλπον ῥύαξ τις· σύγκειται δὲ ἐκ τριακοσίων περίπου οἰκιῶν, ἐξ ὧν ὀλίγισται κέκτηνται ἐξωτερικὴν καλλονὴν χωρικὴν, καὶ εἶναι λείψανον τῆς ἀρχαίας πόλεως Αὐγαίας· ἐν τῷ μέσῳ τοῦ χωρίου κεῖται ἡ Ἐκκλησία, καὶ παρ' αὐτῇ ἡ Ἀλληλοδιδακτικὴ Σχολὴ, τὴν ὁποίαν ὁ Σεβ. Μητροπολίτης Δέρκων Κύριος Νεόφυτος (τότε Κασσανδρείας ὢν) διὰ προτροπῆς καὶ μερικῆς αὐτοῦ δαπάνης καὶ τῶν κατοίκων, ἐκ βάθρων

ἀνήγειρε· διὸ καὶ λίαν ἤδη εὐγνωμονοῦσιν οἱ κάτοικοι τῷ ἀξιεπαίνῳ τούτῳ Ἱεράρχῃ.

7. ΖΟΥΜΠΑΤΕΣ.

Ἐφ' ὑψηλῆς τινος θέσεως κείμενον τὸ χωρίον τοῦτο εἶναι λείψανον τῆς ἀρχαίας πόλεως Κισσοῦ· σύγκειται δὲ ἐκ διακοσίων περίπου οἰκιῶν, τοσοῦτον σποράδην κειμένων, ὥστε, ἄν τις μακρόθεν θεάσηται τὸ χωρίον τοῦτο, ἤθελε νομίσει, ὅτι εἶναι μικρά τις πόλις. Ἡ Ἐκκλησία τοῦ χωρίου τούτου φαίνεται ὅτι εἶναι ἀρχαίας ἐποχῆς οἰκοδόμημα, καθότι ἐν τῷ περιβόλῳ τῆς Ἐκκλησίας ἀνεκαλύφθησαν μάρμαρα μετ' ἐπιτυμβίων ἐπιγραφῶν δυσαναγνώστων· μόλις δὲ διατηρεῖται ἐκεῖ καί τι Σχολεῖον δημοτικόν.

8. ΕΠΑΝΟΜΗ.

Τὸ χωρίον τοῦτο κατέχον ἤδη τὴν θέσιν τῆς ἀρχαίας πόλεως Αἰνείας κεῖται ἐπὶ τοῦ ὁμωνύμου ἀκρωτηρίου (νῦν Καρὰ πουρνοὺ καλουμένου)· σύγκειται δὲ ἐκ πεντακοσίων περίπου οἰκιῶν, καὶ διατελεῖ ὑπὸ τὴν δικαιοδοσίαν τοῦ Μητροπολίτου τῆς Θεσσαλονίκης· ἔχει δύο Ἐκκλησίας καὶ δύο Σχολεῖα, Ἑλληνικὸν καὶ Ἀλληλοδιδακτικόν.

9. ΓΑΛΑΡΙΝΟΝ.

Τὸ χωρίον τοῦτο ἐκ τριάκοντα περίπου συγκείμενον οἰκιῶν εἶναι κτῆμα ἐν εἴδει ἐπαύλεως ἀξιοτίμου τινὸς ὁμογενοῦς τῶν τὰ πρῶτα φερόντων ἐν τῇ τῆς Θεσσαλο-

νίκης πόλει, Τσὲκ καλουμένου· ἔχει δὲ καὶ μικράν τινα Ἐκκλησίαν. Κεῖται δὲ καὶ τὸ περὶ οὗ ὁ λογος χωρίον ἐπὶ τῆς ἄνω ῥηθείσης κοιλάδος ἐφ' ἣν κεῖται καὶ τὸ χωρίον Βασιλικὰ, ὡς καὶ τὸ χωρίον Γαλάτιστα, περὶ οὗ ἀκολούθως. Ἀπὸ τῆς κοιλάδος ταύτης ἀναβαίνων τις καὶ διερχόμενος τὴν σειρὰν τοῦ διακλαδιζομένου πρὸς τὴν ἐκτεταμένην ἐκείνην πεδιάδα τῆς Κοσσαίης ὄρους Κισσοῦ ἀπαντᾷ καθ' ὁδὸν ἐπὶ διαφόρων θέσεων Ὀθωμανικὰ χωρία εὐάριθμα, ἅπερ μαχαλάδας καλοῦσιν ἐκεῖ· πλησίον δ' αὐτῶν ἔκειτό ποτε ἡ οὐδὲ ἴχνος ἤδη σώζουσα ἀρχαία πόλις Γίγωνος ἐπὶ τοῦ ὁμωνύμου ἀκρωτηρίου, τοῦ προεκτεινομένου πρὸς τὸν Θερμαϊκὸν κόλπον.

Ὀλίγόν τι περαιτέρω κεῖνταί καί τινα μικρὰ καὶ ὅλως ἀσήμαντα χωρία, μεταξὺ τῶν ὁποίων εἰσὶν ἱδρυμένα ἐπὶ θέσεων ἀξιοσημειώτων ὡς πρὸς τὴν ἀρχαιότητα, διάφορα διαφόρων Μονῶν Μετόχια, περὶ ὧν κατωτέρω θέλομεν πλατύτερον ἀναφέρει. Τὰ δὲ περὶ ὧν ὁ λόγος χωρία εἰσὶ τάδε.

10. ΜΕΣΗΜΕΡΙΟΝ.

Τοῦτο ἐκ δεκαοκτὼ μόλις σύγκειται οἰκιῶν.

11. ΝΕΟΧΩΡΙΟΝ.

Ἐκ δεκαπέντε περίπου οἰκιῶν συνιστάμενον μετὰ Ἐκκλησίας τοῦτο εἶναι ὡς ἔπαυλις ἐξόχου τινὸς ἰατροῦ Ι. Πρασακάκη καλουμένου καὶ ἐν Θεσσαλονίκῃ διατρίβοντος.

12. ΚΡΗΝΗ.

Καὶ τοῦτο μόλις ἐκ δώδεκα οἰκιῶν συνίσταται ἔχον

καὶ Ἐκκλησίαν τινα, ἧς ἡ οἰκοδομὴ φαίνεται ὅτι εἶναι ἔργον ἀρχαίας τινος ἐποχῆς· πρὸς τούτοις καὶ ἡ τοποθεσία τῆς Κρήνης κινεῖ τὸν θαυμασμὸν τοῦ θεατοῦ, καθότι φαίνεται καὶ ἐξωτερικῶς ὅτι ὑπὸ τὰ θέμεθλα τοῦ περὶ οὗ ὁ λόγος χωρίου ἐγκρύπτεται θησαυρὸς ἀρχαιοτήτων, ἀδίκως καταπατούμενος ὑπὸ ποδῶν χωρικῶν. Ἂν θελήσωσι δὲ τυχὸν νὰ περιηγηθῶσι οἱ ἐπαγγελόμενοι τὸν ἀρχαιοδίφην τὰ ἐδάφη τῆς Χαλκιδικῆς Χερσονήσου, ἅτινα βρίθουσιν ἀντικειμένων τὴν ἀρχαιολογίαν ἀφορώντων, εὐέλπιδες ἐσμὲν, ὅτι οὐκ ὀλίγον ἐπωφεληθήσοντα οὗτοι περιηγούμενοι καὶ ἀνασκαφὰς ἐν αὐτοῖς ποιοῦντες. Τίς οἶδεν ἄραγε τί ὑπῆρχε καὶ ἐνταῦθα κατὰ τὰς ἀξιοσημειώτους ἐκείνας ἐποχάς.

13. ΚΑΡΔΙΑ.

Εἰς ἀπόστασιν μιᾶς σχεδὸν ὥρας ἀπὸ τοῦ ἄνω χωρίου Κρήνης κεῖται τὸ χωρίον Καρδιὰ, ὅπερ φαίνεται ὅτι κατέχει ἐν μέρει τὴν θέσιν τῆς ἀρχαίας πόλεως Ἀντιγονείας, ἥτις ἔκειτο κατ' ἐκείνην τὴν ἐποχὴν ἀκμάζουσα πλησίον ῥύακός τινος πηγάζοντος μὲν παρὰ τῷ χωρίῳ Κρήνης καὶ διερχομένου ὡς δι' ὑπονόμου μέχρι μικρᾶς τινος ἀποστάσεως ἀπὸ τοῦ παρακειμένου χωρίου Καρδιᾶς, (ἔνθα ὑπάρχει ἀρχαῖόν τι οἰκοδόμημα, ἐν εἴδει οἰκίσκου ἐγκεχωσμένου κατὰ τὸ ἥμισυ ἐν τῇ γῇ, δι' οὗ καὶ ἐξέρχεται καταρδεύων τὴν πρὸς τὴν θάλασσαν ἔκτασιν τῆς πεδιάδος ἐπὶ τῆς ὁποίας ὑπάρχουσι αἱ πρὸς σπορὰν γαῖαι τοῦ τε χωρίου Καρδιᾶς καὶ τοῦ παρὰ τὴν θάλασσαν κειμένου Μετοχίου Καρβουνὼ) καὶ ἐκβάλλοντος εἰς τὸν Θερ-

μαϊκὸν κόλπον· ὁ ῥύαξ ὅμως οὗτος δὲν ῥέει ἀδιακόπως διότι ἐν καιρῷ τοῦ θέρους ξηραίνεται, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον τὸν χειμῶνα.

14. ΜΟΥΦΤΙΔΙΚΟΝ.

Τὸ χωρίον τοῦτο εἶναι ὡς ἔπαυλις ἐπισήμου τινος Ὀθωμανοῦ ὡς Μουφτῆ τῆς πόλεως Θεσσαλονίκης ποτε χρηματίσαντος, καὶ ἐξ αὐτοῦ φέρει ἤδη καὶ τὸ ὄνομα τὸ περὶ οὗ ὁ λόγος χωρίον· σύγκειται δὲ ἐκ τεσσαράκοντα περίπου οἰκιῶν, αἱ ὁποῖαι προσκεκολλημέναι οὖσαι διαιροῦνται εἰς τέσσαρα μερίσματα, ὧν ἕκαστον περιέχει δέκα δωμάτια ἐν εἴδει οἰκοιῶν· ἐν τῷ μέσῳ δὲ τῶν μερισμάτων αὐτῶν, τὰ ὁποῖα ἀποτελοῦσιν ἐμβαδὸν γῆς τετράγωνον, ὑπάρχει καὶ ἡ ἀποθήκη τῶν δημητριακῶν καρπῶν, τουτέστι τῶν προσόδων τῶν γαιῶν τοῦ χωρίου.

15. ΠΟΡΤΑΡΙΑ.

Ἐξ ὀγδοήκοντα περίπου συγκείμενον οἰκιῶν τὸ χωρίον τοῦτο κατέχει ὡς φαίνεται τὴν θέσιν τῆς ἀρχαίας πόλεως Σπαρτώλου, τῆς ὁποίας ὅμως οὐδὲ τὰ ἐρείπια τοὐλάχιστον σώζονται· ὑπάρχει δ' ἐν τῷ χωρίῳ τούτῳ καὶ Ἐκκλησία καὶ μικρόν τι Δημοτικὸν Σχολεῖον· τὰς προσόδους τοῦ χωρίου τούτου τὰς ἐκ τῶν Δημητριακῶν καρπῶν προερχομένας ἀπολαμβάνει ἤδη ἡ Α. Ὑψ. ὁ Μουσταφᾶ πασᾶς ὁ Κρής, καθότι ἰδιοκτησία αὐτοῦ εἶναι.

16. ΜΥΡΙΟΦΥΤΟΝ.

Τὸ χωρίον τοῦτο ἐκ τριάκοντα περίπου οἰκιῶν συνι-

στάμενον κατέχει σήμερον τὴν θέσιν τῆς ὁλοτελῶς ἐξαφανισθείσης πόλεως Σκώλου, παρά τινι ὄχθῃ τοῦ παραῤῥέοντος Ὀλυνθιακοῦ ποταμοῦ κείμενον· ὑπάρχει δ' ἐν αὐτῷ καὶ μικροτάτη τις Ἐκκλησία σεσαθρωμένη σχεδὸν καὶ ἑτοιμόῤῥοπος διατελοῦσα, ἕνεκα τῆς δυστυχίας τῶν κατοίκων καὶ ἀθλιότητος, εἰς ἣν ὑπέπεσον οὗτοι εἵλωτες διατελοῦντες Ὀθωμανοῦ τινος Θεσσαλονικέως, ἕνεκα ὑπερόγκου πρὸς αὐτὸν χρέους αὐτῶν· τὴν αὐτὴν τύχην ὑφίστανται καὶ τὰ λοιπὰ χωρία, μέχρι τῆς σήμερον ἕνεκα τῆς ἄνω ῥηθείσης αἰτίας. Καὶ τῇ ἀληθείᾳ εἰς οἶκτον καὶ δάκρυα παρακινεῖταί τις ἀναλογιζόμενος, ὅτι ἀπὸ περιβλέπτων πόλεων ταῦτα μικρὰ χωρία κατέστησαν καὶ ἀπὸ χωρίων εἰς ἐπαύλεις ξένων μετεβλήθησαν.

ΑΓΙΟΣ ΜΑΜΑΣ.

Εἰς τὴν περιγραφὴν τοῦ παρόντος χωρίου ἀναχαιτίζεται ὁ κάλαμός μου· διότι ἐνταῦθα, ἐὰν μὲν ἐπρόκειτο νὰ περιγράψω τὸ ἔνδοξον καὶ ἐπίσημον τῆς ἀρχαιότητος, τὴν ἐμὴν ἀνάγκην δὲν ἤθελεν ἔχει ποτὲ ἡ ἱστορία ἡ κατέχουσα πλείστας ὅσας περὶ τοῦ ἀντικειμένου τούτου σελίδας, ἐὰν δὲ ἀποφασίσω νὰ προβῶ εἰς ἁπλῆν μόνον περιγραφὴν τῆς παρούσης καταστάσεως, τί βλέπω; οὐχὶ ἐρείπια ἄξια λόγου τυγχάνοντα, οὐχὶ μνημεῖα ἱστορικά, ὡς λείψανα τῆς ἀρχαίας περιβλέπτου πόλεως Ὀλύνθου, ἧς ἐπὶ τοῦ ἐδάφους ἀναξίως διατελεῖ σήμερον τεθεμελιωμένον τὸ εὐτελὲς τοῦτο χωρίον, καὶ ὑπὲρ ἧς ποτε οὐκ ὀλίγον ἐβρόντα ἀπὸ τοῦ βήματος ὁ δεινὸς ῥήτωρ Δημοσθένης, ἵνα μὴ περιπέσῃ εἰς ὀλεθρίους τε καὶ καταστρε-

